

SIGILLVM · VNIVERSITATIS · CALIFORNIENSIS
FIAT LVX
MDCCCLXVIII
EX LIBRIS

[redacted]

BABRII

FABULAE AESOPEAE.

EDIDIT

F. G. SCHNEIDEWIN.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLXV.

In memoriam
Isaac Flagg
1843-1931

V. CHR. FR. ROSTIO

E. F. WUESTEMANNO

AMICIS GOTHANIS

F. G. S.

PRAEFATIO.

Babrii fabulae cum essent ex codice Athoo primum editae Parisiis exeunte anno huius saeculi quadragesimo quarto a Joh. Francisco Boissonadio, venerabili sene, statim acerrimas eruditorum excitaverunt concertationes: ita nitida simplicitas cultissimi fabulatoris omnes ceperat. Quorum alii naevos qui resedissent conabantur eluere, alii de poeta ipso deque libris eius eorumque fatis disputare. Studia illa, quae nunc ita deferbuerunt, ut perraro Babrium attingi videas, recentem librum, ut sunt varia ingenia hominum, incertarum opinionum vasta mole ita obruerunt, ut vehementer verendum esset, ne iudicia minus doctorum hominum in diversas partes distracta misere fluctuarent, nisi quis ex primoribus philologorum sese interponeret atque aliorum commentis adiutus has fabulas ad artem elimaret. Repertus est — nam Turicenses editionem festinaverant —, quo non poterat melior, Carolus Lachmannus, vir incomparabilis, cuius mihi quoque sancta memoria est. Is has fabulas a se et amicis emendatas edidit Berolini mense Martio a. MDCCCXLV, ediditque ita, ut quemvis conveniat, si sapiat, talem ducem sequi, qui Babrium denuo edere volet.

Ergo ego quoque secutus sum Lachmannum, sed ut liberum mihi servaverim arbitrium, qui ne in vivi quidem amici verba iuraverim unquam. Et confitebatur Lachmannus ipse, se non absolvisse emendationem poetae: nec ego absolvi, sed studui et cavere ab erroribus non paucis, quos

placitis quibusdam suis ductus commisit vir summus, et ad pristinum nitorem paullo propius reducere verba. Etenim Lachmannus in quibusdam severior fuit, veluti cum anapaestum in ceteris sedibus praeter primum pedem non ferendum ratus ubique expulit. Deinde eam legem non perspexerat, quae est Th. Fixii et H. L. Ahrentis sagacitate animadversa, ut penultima versus syllaba accentum habeat: quae regula violatur nonnisi pronominibus ἡμεῖς et ὑμεῖς. Locos Lachmannianae recensionis refractarios studui in ordinem redigere in censura illius libri, quae extat Nunciis erud. Gottingensibus anni quadragesimi quinti nr. 136 p. 1361 sqq. Postremo non curavit Lachmannus, quod alii perspexerunt, Babrium in extremo versu anxie refugere syllabas non natura longas, maxime eas, quae in brevem cadunt vocalem. Quanquam haec quidem regula non potuit ubique observari.

Praeterea ut nec ante Lachmannum defuerant nec eodem paene tempore deerant qui in his fabulis expoliendis cum laude elaborarent, quorum unius Frid. Duebneri animadversionibus criticis Parisiis a. MDCCCXLIV editis, quae bonae frugis plenissimae sunt, uti editor Berolinensis potuit: ita ne post illum quidem defuerunt, qui Babrio opem ferrent. Mihi ergo sedulo excutienda erant quae protulerunt H. L. Ahrens, Theod. Bergkius, Theotbaldus Fixius, Alph. Heckerus, C. Fr. Hermannus, Guil. Ad. B. Hertzbergius, Aug. Nauckius, Piccolos, O. Schneiderus aliique, ratione illi quidem usi in emendando: per rabiem quid effici posset non sivit inexpertum G. Burgessius, cuius θυρσομανεῖς bacchationes exhibent Acta Philol. Parisina (Revue de philologie etc.). Sed sobrius post Lachmannum editor contigit Babrio vir doctus G. C. Lewis (Londini a. quadragesimo sexto), de cuius eleganti editione rettuli in Nunc. erud. nostris a. XLVII, nr. 182 p. 1817 sqq.

Infra notavi ubicunque a Lachmanno discessi dixique unde petita esset diversa scriptura, ex codicene iniuria a Lachmanno spreto (*A*) an ex ingenio doctorum hominum. Ubi auctor verioris, quae mihi videtur, scripturae affertur nullus, scito ex emendationibus meis esse, quarum partem iam Lachmannus commemoravit, alias cum in illis quas modo dixi censuris proposui, tum in ea quae est in Nunc. erud. nostris anni XLV, nr. 1 sqq., ubi de Babrio eiusque fabellis Aesopeis quid sentirem explicatius edisserui: aliae denique nunc demum accesserunt. In tanto autem fervore hominum criticorum non est mirandum, cum plerique quid ab aliis esset occupatum aut non curarent aut ne possent quidem curare, multas emendationes non semel, sed bis ter quater factas esse. In talibus eum fere nominare satis habui auctorem, qui primus publici iuris fecisset. In afferendis coniecturis, quae in verborum ordinem non admittendae videbantur, delectum egi earum, quae aliquo nomine memorabiles essent; multas de industria silui temerarias hariolationes.

Prooemium. Post v. 2 Mullachius de Prooemio Empedoclis p. 15 supplet fere: τῆς δευτέρης δ' ἐπῆλθεν ἀργυροῦν φῦλον. 3 αὐτῶν τῆς ἐγενήθη *A*. Fortasse αὐτῶν αὖτ' ἐγένετο. 5 μεμπτή *A*, πέμπτη *B*, πέμπτης *L* Lachmannus signis lacunae ante v. 3 positis seclusit vv. 3. 4. 5, versu 6 autem scripsit ἐπὶ τῆς δ' ἐπίσης (*pariter*), ubi *A* syllaba extrita δε σῆς, unde Duebnerus δὲ χρυσῆς. Lachmanno favent verba καὶ τὰ λοιπὰ τῶν ζῴων, quae optime nectuntur cum vv. 1. 2. Quanquam τὰ λοιπὰ possunt intelligi praeter hominem animalia. 11 delet Bergkius. 16 τῆς ἐλευθέρας *AL*, quod nemodum explicavit. Cfr. prooem. 2, 6. 17 θείης ἐμῆι *A*, ἂν θέλῃς ἐνὶ *L* 18 νῷ τὸ *A*, νῶντι *L*, λῷστε Duebnerus. 19 θηλᾶσαι *A*, θηλύνας *L*, cfr. A. Heckerum Philol. V, 496. Orta codicis scriptura ex glossa ad v. θήσω ascripta: Hesych. θῆσαι. θρέψαι, θηλάσαι. Sed v. Hesiodi O. et D. 597.

Fab. 1, 4 τοῦτον *AL*, μοῦνος praebuit Corais fab. 279 λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν εἰς μάχην, coll. p. 397 λέων δὲ μόνος πρὸς μάχην ἐπεκαλεῖτο αὐτόν. 5 σπεύσῃς Fixius, σπεῦδε *AL* 8 ποιητόν *AL*. Coll. v. 16 scripsi πτοητόν, cfr. fab. Cor. ἴδε τὸν ἐμὸν ἄγγελον οἷός ἐστι καὶ τότε κἀγὼ ἐπέρχομαί σοι et altero loco: καὶ αὖθις δὴ τὴν ἐμὴν ἰσχὺν δοκιμάσεις.

2, 2 ἐζήτει *A*, ἐπεζήτει *B*, ποτ' ἐζήτει *L* 3 τήνδ' ἔκλεψεν ἀγροίκων *A*, τήνδ' ἔκλεψεν ἄγροικος *L*. Correxit Duebnerus.

3, 1 χρήζων *AL*. Scripsi κλήζων, h. e. κλείων, im begriff einzuschliessen. Id paraphrastae videntur prave interpretati reddidisse ἀνεκαλεῖτο, vel ἐνεκαλεῖτο, cfr. Cor. fab. 151 p. 91 et 346. Alterum versum, in quo ἐπισυνάγειν *L*, non habuerunt paraphrastae. 5 πλήξας. Expectes ῥήξας, τύψας.

4, 8 κίνδυνον *AL*: κινδύνους obtulit affabulatio perverse collocata Corais f. 145 p. 87, ubi fabulae quintae affixa est: ὅτι εὔκολος ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσι· τὸν δὲ μέγαν ὄντα τῇ δόξῃ σπανίως ἴδοις ἐκφεύγοντα τοὺς κινδύνους.

5, 8 ἀετὸς *AL* 8 θηλείας *L*

6, 2 σῴζων Baiterus coll. 76, 9, ζῴων *AL*. Delebat versum Duebnerus. 6 ἢ πόσου με πωλήσεις *A*. Illud Suidas s. v.

ὦνος. 8 ἔκυσ' ἐμὴ μήτηρ scripsi: *ἔκυσε μήτηρ A*, *ἐκκύει μήτηρ L* 17 ἦν Levisius, *ἄν γ' AL*

7, 7 *μηδ' ἐπ. AL*

9, 1. 2 verba uncis inclusa interpolatori tribuit A. Nauckius Mus. Rhen. VII, 153. 3 *ἄξειν* ego, *ἥξειν AL* 4 *ἠτέριζεν A*, *ἠρέθιζεν* Bergkius. 8 *τοιαῦτ'* Sauppius, *τοσαῦτ' AL* 11 *οὐ καμόντα* ego, *οὐδ' ἀλύοντα AB*, *ου βαλόντα L* 12 *καμών* Ahrens, *βαλών AL* 13 *τὸ A*, *τοῦ L*, *τότε* Ahrens.

10, 4 *ἐπὶ κνήμης* Fixius, cfr. Sapph. fr. 74, 2. 12 *χολοῦμαι L*, ut anapaestus removeretur, sed v. A. Nauckium Mus. Rhen. VI, 630. 13. 14 uncis saepsi.

11, 2 *καινῇ* Nauckius. Paraphrastae p. 99 et 352 Cor. *ἐπὶ πολὺ τιμωρήσασθαι*. Illud est *inaudita*. 5 *τοῦ λαβόντος* Orellius, *τοῦ βαλόντος A*, *τοὐμβαλόντος L*, *τοῦ βλαβόντος* Ahrens.

12, 1 *μακρὰν ἐξεπ. A*, *μακρὸν ἐξ.* Knochius, *μάκρ' ἀνεξεπωτήθη L* 15 *νυκτὸς ἔννυχος στείβῃ A*. Fort. *νυκτὸς ἐν μυχοῖς στίβῃ*. 16 *τέρπει L* 17 *μήνυσον AL*, *μηνύσαις* Hertzbergius, ego *μηνύσῃς*, ut Soph. Phil. 300 *φέρε μάθῃς*. 27 *οἷς ἂν εὐθενῶν ὀφθῇ L*, *εὐθενῶν ὀφθῇ A*, *οἷς ποτ' εὐθ. ὤφθη* ego.

13, 2 *σπόροιο* malim, v. 5. Fixius *σπορητῶν* vel *σποράων*.

14, 1 *Ἄρκτος AL*, *Ἄρκος* Suidas. 4 *δ' ἔτ' ὄντος L*

15, 4 fort. *ἄλλῃ*. *L* minus recte distinxit.

17, 4 *ὀξύφων' ᾄσας* Nauckius.

18, 3 *τὴν σισύραν ἂν ἐκδύσαι L*, *τὴν σισύραν ἐκδύσει A*. Correxit Toupius. 4 *οἷον* Nauckius. 13 *εὐθὺς* Duebnerus, *αὗος* ego conieceram. Sed *αὐτός* int. *sponte*.

19, 2. 3 *κερδώ | ἰδοῦσα πλήρεις AL*. Correxit Ahrens. 6. 7 *ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα, Οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας L* ex Suida. In epimythio *ψόγους ψευδεῖς* C. F. Hermannus.

20, 3 *αὐτὸς ἀργὸς* Fixius. Cum fab. Cor. p. 220 ad verbum concinit Photius p. 586, 13, qui proverbium habet: *τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν*.

21, 5 *πολλὰ γὰρ ἦν A*, *πολὺ γὰρ ἦν* Fixius, *πόλλ' ἅτ' ἦν* ego olim. 11 *φυγεῖν* Fixius, *φεύγειν AL*. Sed *L* utrumque versum cancellis saepsit.

22, 7 *γραίη B*, *γραῖα AL*. Ita et v. 11. 12 *ἔθηχ' ἑκά-*

τέρη A. Nauckius Mus. Rhen. VII, 155, *ἔθηκαν ἑκάστη A*, *ἔθηχ' ἑκάστην L* *ἀποσπῶσα* vel *ἀποσπῶσαι* Levisius.

23, 5 *λοιπὸν L*, ut 26, 6; *λευκὴν* et *προσάξειν* Nauckius. At *λοιβὴν* i. q. *θυσίαν*. 11 *ἐμφορουμένης* Ahrens, *ἐκφορουμένης A*, *ἐκφοβουμένους L*

24, 3 *λιμνίους* Ahrens, *λιμνάδας L Fixius* coll. 115, 1. 4 *οἷς A*, *ὁ δ'* Suidas s. v. *παιάν*, *εἷς δ'* Levisius ex Corais fab. p. 407 et 227: *εἷς δὲ ἐξ αὐτῶν* vel *εἷς δὲ τούτων*. Scilicet ibi *εἷς τῶν βατράχων* loquitur, h. l. *φρῦνος*. 5 *τοῦτ' ἔργον ἡμῖν* Hermannus, *ὥρα 'στιν ἡμῖν* ego olim, sed cfr. Bernhardy Synt. p. 166. 10 Fort. *οὔ τι χαιρήσειν*.

26, 5 *ἐπέσχον*, *σφ.* Sauppius, *ἐπέσχον σφενδονῶντα AL*, *ἐπ. σφενδονῶντι* Fixius. Cfr. 50, 11.

27, 2 *στεννυγρίῃ* coniecit *L* Post v. 6 addit Vatic. fab. 355 p. 265 Cor. *κρεῶν ἀνέῳγας ἄγγος*, *ὥστε τεθνήξῃ*.

28, 2 *αὐτὸν A*, *αὐτῶν L*, *αὐτόσε* Vatic. 378 p. 273. An *αὖτις*? 4 *πρωΐης ὥρης* Duebnerus, *γὰρ πρὸ τῆς ὥρης* (*ὥρας A*) *AL* 6 *παταχθεὶς* Heckerus Philol. V, 497. 7 *ἢ τοσοῦτον* Heckerus, *εἰ τοιοῦτον AL* 10 *ποσσότητα* Ahrens et Halmius Aesop. p. VII, *πιότητα* Coraes, *ποσότητα A*, *ποιότητα L*

29, 2 *ζευχθεὶς ὑπὸ μύλην ἑσπέρην πᾶσαν τάλας A*, *ζευχθεὶς δ' ὑπὸ μ. ἤλεσ' ἑσπέρην πᾶσαν L*. At imperfectum desideratur, cfr. 131, 5. Excidit, opinor, versus hac fere sententia: ***per totum diem labore conficiebatur, donec sub vesperum ingemisceret.*** Ex amisso versu remansisse *ἑσπέρην* videtur, cuius loco certe *ἡμέρην* opus erat. Quapropter Ahrentis coniecturam *πᾶσαν ἑσπέρην „Οἴμοι Τάλας στεν. εἶπεν* repudiamus. 5 *λίην A*, *λίαν L*, *σὺ μέγ'* Hermannus, *δῆτ'* O. Schneiderus, *δὴν* Sauppius, ego *λήν· λίαν* Hesychius. 5 includit Levisius, 5. 6 Lachmannus.

30, 9 *ταλαντεύεις* Bergkius. 7 *εἶτεν* et 9 *εἶδεν λέγοντα* (*A εἶδε λ.*) Halmius fab. 265. Falso. 10 *ἢ γὰρ L*

31, 12 *τότε* Ahrens. 13 *ἀκραίοις* Duebnerus coll. 95, 40., *ἀχρεῖα AL* 15 *μάχην* Ahrens. 20 *ἑάλωσαν A*, *ἑάλων L*. Debebat *ἑάλον*, ut *ἔγνον*. 24 *ηὐτέλεια* Fixius.

32, 4 *τις οὐκ ἔχων A*, *τίς οὐχ ἑκὼν L* 9 *καλῶς AL*

33, 16 *συνθήκης* Meinekius, *συνθήκη* Fixius. 25 om. in textu *L*

34. „Post v. 2 excidit versus, in cuius fine fuit πλήρεις“ *L*

35, 3. 4 Nauckius Philol. VI, 408 transponit ἀγρίης ὑπ' εὐνοίης — ἀθλίως ἀποπνίγει. Placet vulgata.

36, 2. 3 invertit *L* 2 ἔδωκε *AB*, ἐνῆκε *L* 7 τις ὢν ego et Fixius, τε ὢν *A*, τ' ἐὼν Duebnerus et *L*. Sed nusquam Babrius ἐών habet.

38, 2 ἐνεῖραν Fixius, ἐνῆραν *A*, ἐναφῆκαν *L* ex Suida s. v.

39. Post v. 2 quaedam excidisse videntur, cfr. Corais f. 117 p. 110. 362 εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν (ὑπολαβὼν) ἔφη πρὸς αὐτήν· Ἀλλ' ἡμῖν αἱρετώτερόν ἐστιν ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλάκτου τυχεῖν. 3 πολιτείᾳ Fixius.

42, 8 ποίαν ἡλόων μ' ἐγίνωσκον *L*, pro quo γινώσκω dedi, quod ars Babrii flagitat.

43, 6 τὰ γαῦρ' ἐποπτεύει *L* ex Suida s. v. νέμεσις.

45, 8 δ' ἐνδίους Hertzbergius et Heckerus Philol. V, 493, δὲ ἰδίας *A*, δέ γ' ἰδίας *L* 9 ἠθρίαζε Meinekius, ἠθρίασε *AL* τεθνώσας] Fortasse τεθνεώσας, v. Lobeck. ad Buttmanni gr. gr. 2, 199. 12 γελαστὸς ego, γελάσας *A*, γελοῖος *L*

46, 2 βαθυσχίνῳ O. Schneiderus coll. Leonid. Tar. 107, 2, βαθυσχοίνῳ *AL* 3 ἑτοίμην *AL*, ἑτοῖμον Fixius. 7 ὁ δὲ πενίῃ θνήσκει pr. *A*, ὁ δέ γε πρὸς πείνης θν. corr. *A*, ἤει πρὸς ὕλας· ὁ δὲ πένης κατεσκλήκει *L*. Ego Fixium sequor, qui finem versus septimi a glossatore obscuratum ratus coniicit fuisse τοῦ νοσοῦντος ἀμνήμων.

47, 1 ὑπέργηρως *AL*. At v. Goettling. doctr. accent. p. 288.

48, 6 μοι τοῦτο μὴ 'πιλ. Fixius.

50, 8 ἢ τῇδ' O. Schneiderus, μὴ τῇδ' *AL* 16 μιμνήσκου *L*. Versus fortasse spurius. 18 post v. 15 posuit *L* κεἰ C. F. Hermannus, καὶ *AL*, τὸν γὰρ Ὅρκον Heckerus. 19 με σώσας — ἀποκτείνας Ahrens, μ' ἔσωσας — ἀπέκτεινας *AL*

51, 10 πάρεστι Fixius, πάλιν ἔστι *AL*

52, 8 ὡσείπερ αὐτὸς κάμνων *A*, αὐτὸς ὡς ὑπερκάμνων Ahrens, ὥσπερ αὐτὸς εἰ κάμνοι Duebnerus, αὐτὸς ὡσπερεὶ κάμνων Hermannus.

53, 8 πάλιν ἐμοὶ Ahrens, μοι πάλιν *AL*

54, 2 ἀρνὸς ἧπαρ Ahrens.

56, 9 αὑτοῦ *AL*

57, 4 ἀνθρώπων *A*, ἀνδρῶν *L*, δώρων Fixius, vel τοῦ

φόρτου. 6 *τῷ τῶν Ἀράβων A, τῶν Ἀραβίων L* 12 *ἐπειρήθης* Heckerus.

59, 3 *ζῴων* Fixius, *ζῷον AL* 7 fortasse *πέφυκε πάντας ἐχθραίνειν.* 10 *ὡς ἀμβλέπων* O. Schneiderus. 14 *θεμέθλοις* Fixius.

61, 4 *ἁλιπλώτων* Fixius, *ἁλιζώων* Sauppius.

62, 1 *ἀργῆς AL.* Correxit Fixius Revue de Phil. II, 191.

63, 7 *οὐδ' ἂν εἷς τις* Meinckius et O. Schneiderus, *οὐδ' ἄν τις A, οὐδὲν ἄν τις* Boissonadius et *L*

64, 8 *τῶν πελέκεων A, τῶν πελέκεων γε L, τῶν πελέκεών τε* Fixius. 9 *τῶν πριόνων τε* Fixius ex fab. Cor. p. 111, *καὶ τῶν πελύκων AL*, qui versum pro spurio habet.

65, 1 *γέρανος εὐφυεῖ ταῷ τεφρῇ L*

66, 2 *πλάσαι θ' ἅπασι δ. ζῴοις* et 3 *ἔκ τε L* 6 *ἰδίων δ' ὄπισθεν ἥτις ἦν πολὺ μείζων A, ἰδίων δ' ὄπισθεν ἥτις ἦν πλέη μείζω L.* Emendavit Levisius.

67, 2 *ἦν* ego, *ἐν AL, ὧν* Nauckius.

69, 1 *δασύπουν ἀναστήσας A, λασιόπουν ἀναστ. L, δασύπον (δασύποδ'* Duebnerus) *ἐξαναστήσας* Fixius, *δασυπόδην ἀναστήσας* Ahrens, *τὸν δασύποδ' ἀναστήσας* Levisius. 2 *ἐδίζητ' L*

70, 3 *ἣν Ἄρης κατειλήφει A, ἣν χαρεὶς κατ. L, ἣν ἄρ' ὕστατ' εἰλήφει* Nauckius. 5 *δ' ἔτ' αὐτῇ L* 6 *ἔθνη που* priore praeter morem Babrii correpta improbans Nauckius coniicit *μήτ' οὖν ποτ' ἔθνη.* At vv. 6. 7. 8 videntur adulterini. *πόλιν τιν'* Hermannus. 7 *ὕβρις γ'* idem.

71, 8 *πάντως* Duebnerus, *πάντων ὧν* ego, *δὲ πάντες, ὧν AL*

72, 1 *Οὐρανίδῃσι* Heckerus. Recte alii *οὐρανοῖο (A οὐρανίου)*; cfr. Aeschrionis Samii illud *Ἶρις καλὸν οὐρανοῦ τόξον.* 6 *καθάριον* Sauppius. 14 *κρεῖσσον L* 17 *τῶν πτερῶν* Heckerus p. 489. 19 *κίχλη L*, sed v. Meinek. Exercitatt. Athen. II, 4. 20 *σπίζων* Bergkius coll. Arati v. 1024 *σπίνος ἠῷ σπίζων, παίζων AL, ναίων* C. F. Hermannus. 21 *δὲ φηλὸς* ego, *ἔφηβος A, ἔφεδρος L* 28 sq. *σεαυτοῦ κόσμον οἴκοθεν κόσμει· Κόσμοις ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ* Hermannus.

73, 1 *ἀρχὴν L, ἄλλοτ'* Duebnerus, *ἄλλην A ὀξέην εἶχε A, ὀξέην ἔχει L, εἶχεν ὀξέην* Fixius. *κλαγγήν AL, γῆρυν* Ahrens, *κλάγγα* ego, ut Ibycus *κλαγγί* dixit. 4 *πρῴην* Nauckius.

74, 9 *ἀφ᾽ ὧν*] *ἐν οἷς* Heckerus p. 497.

75, 2 *δέδιθι* producta altera ut apud Nicandrum Alex. 443 *δείδιθι*. 4 *ὁ δ᾽ ἀτεχνὴς* A, *ὧδ᾽ ἀτεχνὴς* L, *ὁ δ᾽ ἄτεχνος οὖν* Fixius, *ὁ δ᾽ αὖτ᾽ ἄτεχνος* ego olim, *ὧδ᾽ ἀτενὴς* Nauckius Arist. Byz. p. 295, cui cum Cobeto *ἀτέχνης* graecum esse neganti Meinekius Vindic. Strabon. p. 138 opponit *κλυτοτέχνης* Homeri, poterat addere *πολυτέχνης* Solonis. Fortasse tamen Babrii est *μόνος δ᾽ ἄτεχνος* quod exprimit paraphrasta p. 121 Cor. Levisio locus interpolatus est vocesque ei videntur excidisse in hunc fere intellectum: *παρὰ τὸν ἄρρωστον*. 6 *ἐξαρῶ σε* et *ἐνεδρεύσω* L 7 *τὦκρον* Ahrens, *τό γ᾽ ἄκρον* Fixius, *τὸ μακρὸν* AL 16 *βραβεύειν* L, *ῥύεσθαι* Fixius. Ceterum Ausonius epigr. 75 hanc fabulam elegiacis versibus reddidit, cfr. Philol. I, 420.

76, 6 *τόθ᾽ ὁ κλεινὸς* L 9 *δύστηνος* L, *δυστήνοις* A, *δυστήνως* ego. 12 *τ᾽ ἐκέλευε* A, *τ᾽ ἐφώνει* L ex Corae p. 236 *καὶ ἡ σάλπιγξ ἐφώνει*, *τ᾽ ἔκλαγξε* Fixius.

77, 2 *τούτου δ᾽ ἀλ.* Nauckius.

78, 4 ne prior v. *τέκνον* corripiatur Nauckius *καὶ τίς σε, τέκνον, φησί* coniicit. Fortasse *τέκος*.

79, 2 *διῄει* frustra Heckerus p. 497. 8 *ἀναλοῦται* Georgides gnomologus, *ἀνήλωται* AL

80, 4 *μὴ καταγέλαστον, μή τι πυρρίχην παίζειν* L ex Suida.

81, 1 *Κερδοῖ πίθηκος εἶπεν* et v. 3 *κερδὼ πιθήκῳ φησίν* Ahrens ductu paraphrasium Cor. p. 241, et Nauckius Philol. VI, 408: *Κερδὼ πιθήκῳ* et *κερδοῖ πίθηκος εἶπεν* AL

82, 5 *δυναστεύων* Ahrens, *βασιλεύων θηρίων* A 8 sic Suidas: *κακὴν δὲ μελέτην ἐπ᾽ ἐμὲ τῆς ὁδοῦ τρίβει* A

83. Excidisse quaedam apparere videtur ex Cor. p. 123 *κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας*. 6 sqq. L habet sub textu tanquam pedestrem orationem. Sequor Levisium. Initio v. 8 fortasse excidit *ὦ Βράγχε*.

84, 3 *κλίνω* Dositheus, *σαίνω* A, *κάσαίνω* Ahrens coll. Hesychio s. v., *ξαίνω* Piccolos.

85, 5 *τὴν μ. δ᾽ ἐνεδρεύσει* Fixius, *τὴν μ. ἐνεδρεύσει* A, *προάξει τὴν μάχην, ἐνεδρεύσειν* L 8 *τῶν πολεμίων μὲν* Fixius. 10 *εἰσίν, οἱ δ᾽* Fixius. 13 *χρῶμά γ᾽* idem.

86, 9 deleto Fixius v. 10 *καὶ γαστέρα* emendat.

87, 3 *μετασταθεὶς* Duebnerus et *L*, *ψεύσων L*. At *μεταστραφείς* est *versa sententia*, anders sinnes geworden. 6 *οὕτως L*

88, 17 *εἶπεν*, *κορ. φησι νηπίοις* Fixius, servato v. 16 *πᾶσι*, quod est in cod. Vaticano: nam *A* v. 16 ignorat.

89, 5 *ἐγὼ οὐ περυσινός*, *ἐπ' ἔτος A*, *ἐγὼ οὐ περυσινός εἰμ'*, *ἐπ' ἔτος L*, ego *ὅς γ'* inserui. 6 fort. *ἐγώ*.

91, 4 *τὸν ταῦρον ἐμβὰς τοῖς* ego et Bergkius, *ἐμβάντα τοῖς A*, *ἐμβαίνοντα L*. Bergkius praeterea *τὸν ταῦρον ἄντα*.

94, 3 *ἔφασκε* Fixius, *ἔλεξε* ego. 7 *τῆς ἰατρείης* ego, *τῶν ἰατρείων A*, *τῶν ἰατρειῶν L*

95, 12 *ἔσκυσσε* Ahrens, *ἔσκυσε A*, *ἔκυσσε L* 26 *οὖν* Sauppius, *ἂν A* 29 *πάλαι L* 35 cum paraphrastis delet Fixius. 61 *μ' ὅποι* Hermannus, *με κἂν* Ahrens, *με καὶ A*, omnino delet versum Duebnerus ignoratum ab paraphrastis. 62 *τι χαιρ.* Cobetus Orat. p. 154. 63 delent Duebnerus et Hermannus. *γρύξαι τι A*. An *καί τι γρῦ σὺ τολμ.*? 64 *ἄλλους — τοὺς ἀπειρήτους* cum paraphrasi Cobetus. 65 *αἱρέτιζε* Cobetus, qui hyperbaton neglexisse videtur. 69 *βουλεύσων* Nauckius.

96, 1 *τριγχὸν* Suidas, *θριγκὸν AL*

97, 8 *ἀλλ' ἢ AL*, *ἀλλ'* ego.

98, 9 *περιβαλεῖν L*, sed v. Nauck. Philol. VI, 386. 16 *λίθῳ τις*] *λίθοισιν* Piccolos, perperam.

100, 3 *ἢ* add. Hermannus, *οὖν* Buttmannus, *εἰ* Weisius. 4 *μὴ μεθῇς σὺ* Hermannus, *ὠκύπτερόν σε μὴ μ.* cum paraphrasi Levisius.

101, 6 *νῦν τυφωθεῖσα L*. At idem *βραχυλόγως* inest in vulgata. 7. 8 *γίγνῃ* et *φαίνῃ* transponit Nauckius Philol. VI, 409 coll. fab. Fur. 360 (Cor. p. 267), ubi bis *φαίνῃ*. Id ego paene malim.

104, 7 *ἠπιεικείης L*. Sed cfr. de forma *ἐπείκετα* Nauckium Philol. I, 356 et mea ad Hyperidis oratt. p. 7, 13.

106, 4 *ἐπειράθη* Levisius coll. 57, 12. 7 *ἡμέρων* Bergkius. 9 *φῆλον δὲ κερδῶ* Bergkius. 10 *συνεξήκει* Fixius, *συνεξήτει AL* 17. 19. 18 transponit Baiterus *ἀποσχοῦσαν* cum *A* retento pro *ἀποσχοῦσα*. 29 *ὡς λέων*] *ἵλεως* Sauppius. Sed

cfr. Dio Chrys. 43, 5 ὁ δὲ δῆμος ὡς δῆμος ἠγνόει καὶ ἀνεπείθετο. Propertius 4, 8, 55 *Fulminat illa oculis et quantum femina saevit*, et rell. 30 ταῦτα] φησί Fixius.

107, 7 θέμις σῶν ego, ἀμέσσων *A*, ἄμεινον *L* 8 τοῦδε vel τῶνδε Fixius. 9 ζώειν Hertzbergius et Fixius. 11 σφαλοῖς Meinekius, σφαλεὶς *AL* 17 μηδέ πως Fixius, μηδὲ τῶν *A*, μηδ᾽ ἐτῶν *L*

Prooemium alterum. 5 λίβυς τινός *A*, Λιβυστῖνος *L*, Λιβυστίνοις ego. 6 λόγους Κυβίσσης ego, λόγου λιβύσσης *A*, λόγους Λίβυσσιν *L* 7 δίδωμι καθαρῷ *A*, δίδωμι φαλάρῳ Duebnerus, ᾄδω κεκρυφάλῳ *L* 10 σοφωτέρας *AL*, ψοφωτέρας ego, a ψόφος ut κύντερος a κύων aut a ψοφός. Callimachus: μηδ᾽ ἀπ᾽ ἐμοῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν. Alius κἀσοφωτέρας, O. Schneiderus κοὐ σοφωτέρας μ., γρίφοις δ᾽ ὁμ. 12 ἢ γεγωνίσκειν Nauckius Philol. IV, 197, ἤ με γινώσκειν *A*, ἡμὲ γινώσκειν *L* 14 θήγω *AL*

109, 4 ἔπελθε Fixius, πρόελθε Heckerus l. c. 497. An ὀρθὴν ἄγ᾽ ἐλθέ?

110, 3 οὐραίην Fixius et Meinekius, οὐραίης *AL* 4 βαρδύνεις Ahrens, δηθύνεις Nauckius Philol. IV, 198, βραδύνεις *A*, δ᾽ ἁβρύνῃ *L*

111, 4 τὸν ὄνον] ὦνον Piccolos. 12 καὶ πάλιν ὅλους τήξας *A*, κἆτα π. ὅ. τ. Ahrens, κἀθ᾽ ὅλους πάλιν τήξας O. Schneiderus, καὶ πάλιν δόλους τεύξας *L*. An καὶ πάλιν δ᾽ ἅλας τήξας? Interim sequor Levisium. 13 κερδήνας Heckerus, κερδήσας *AL* 14 κάπηλον ἐπινοεῖ τέχνην Ahrens, nam *A* τέχνην ἐπινοεῖ καί. Mihi πλείους obscurum. An πλῆθος — σπόγγων . . πολυτρήτων? 16 μεμειώκει *L*

114, 2. 3 λάμπει Κρεῖσσον ἐν Ahrens. 6 sq. φαῖνε λύχνε καὶ σίγα. τῶν ἀστέρων τὸ φέγγος οὔποτ᾽ ἐκλείπει fab. Cor. p. 157. In scriptura *AL* βαιὸν ἦν λύχνου πνεῦμα· τῶν δ᾽ ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει contra morem Babrii λύχνου priorem brevem habet. Quare alterum posui.

115, 4 ταῦτα] Expectes κλύων, cuius priorem producit Phoenix Colophonius, ut Aeolensium erat κλυίω. 5 χέλυμνα *A*, χέλυννα *L*. At cfr. quae dixi Philol. I, 379.

116, 12 εὕδειν *A*, ἐλθεῖν *L*

118, 11 φεύγει *A*

119, 1 τεχνητός *L*

120, 8 ὁ et σῴζων Duebnerus et Hermannus. χλωρὸν Roeperus Philol. VII, 4, χωλὸν *AL*. Illud commendat Avianus fab. 6, 11

'haec dabit aegrotis' inquit 'medicamina membris,
pallida caeruleus cui notat ora color?'

122, 10 θερμός *L* 13 τ' delendum videtur.

123, 1 ᾠὰ χρυσᾶ *AL* 4 ἀθρόων μένων λῆψιν *L*, ἀθρόον μέλλων λήψειν *A*, μέλλων αὐτίκ' ἀθρόον λέξειν Piccolos.

124 apud Coraen p. 269. 19 οἶσθα C. Schneiderus, οἶδας *F*, οἶδα *L* 20 τι δειπνῆσαι *L*

125 apud Coraen p. 268. 4 τὰ νῶτ' ἐληλέγχει ego, τὸ νῶτον ἤλεγχεν *FL*, τὸ νῶτον ἠλοία Nauckius.

126, 3 πανούργοισιν *L*, πανουργοῖσιν Nauckius coll. Lobeck. ad Aiac. p. 261. 6 ἔλεγον Tzetzes, ἐλέγοντο Bentleius, ἔλεγον πολλὰ Levisius.

127, 1 ἐρήμειαν *L*, ἐρημίαν *F*, ἐρημαίαν Nauckius. 2 ἀλήθειαν μόνην *F*, οἴην εὗρε τὴν Ἀληθίην Levisius. 7 πάντας βροτοὺς *F* An εἰς βροτοὺς ἅπαντας ἤλυθεν ψεῦδος? 8 ἐμοῦ βούλῃ ego, βεβούλησαι *L*, βεβούλησαι κλύειν *F*

128 ex Suida s. v. κωμηται, coll. Cor. fab. 257 p. 168. 2 ὄνος εἶ θεὸν φέρων, ἀλλ' οὐ θεοῖς ὑπάρχεις ὁμότιμος *C*, unde *L* κοὐ θεοῖς ἴσος. Levisius praeterea exculpsit versum (fr. VIII)

σκιρτῶν ἔμελλε τὸν θεὸν καταρρῖψαι.

Et facili opera fabellam restituas totam. Veluti post hunc versum sequebatur fere hic:

τοῦτον δ' ὁ δεσπότης ἔφη ξύλῳ παίων.

Secundus fuerit:

πολλοὶ δ' ὁδῖται προσεκύνουν συναντῶντες.

Cfr. Halmii fab. 324 et 324[b].

129 servavit Vatic. p. 412 Cor., minus integram Bodl. p. 238.

130 Cor. p. 405, cfr. Xenophontis Memm. 2, 7, 13. 1 Οἰῶν *L*, Οἷς *F*. An Ὄϊς? Levisius, quoniam accusativum in -ηα non usurpet Babrius, coll. 77, 3 suspicatur:

Νομέα ποτ' οἷς λόγῳ προσεῖπε τοιούτῳ.

In reliquis quoque scriptura vacillat. 4 περισσεύσει *FL*, περισσεύει Coraes. 9 εὐμαρεῖ vel εὐπόρῳ Levisius. 10 Ταῦθ' ὡς ἤκουσεν ἡ κύων ἔφη ταῦτα *F*, Ἤκουσε τούτων ἡ

κύων ἔφη τ' οἱ L. Correxi, sed possit etiam *ταῦθ' ὡς ἐπέσχεν ἡ κύων*.

131 apud Coraen p. 371 ex *F*. 1 *Ὄνον εἶχέ τις καὶ κυνίδιον Μελιταῖον L* ex paraphr. p. 137., *Ὄνον τις ἔτρεφε καὶ κυνίδιον πάνυ ὡραῖον F*. Sequor C. Schneiderum. 2 *ἔχαιρεν εὐρύθμως παῖζον L*, quod transposui cum Nauckio propter mensuram voc. *εὐρύθμως*, v. Philol. VI, 407. 5 *Ὁ δέ γ' ὄνος τὴν μὲν νύκτα ἀλήθων F*, *Ὁ δέ γ' ὄνος αὖ τὴν ἑσπέρην μὲν ἤληθεν L*, quod immutavi. 8 *καὶ ἦν ἐν αὐλῇ* et *φάτναις F*, *καὶ νῦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης L*. At *φάτναισι* vix potest amphibrachys esse. 11 *ἐν ἁβρότητι πάσῃ F*, *ἐν ἁβρ. τῇ πάσῃ L*, *ἁβρότητι σὺν πάσῃ* Nauckius Philol. VI, 406, probabiliter Levisius *ἁβρότητι παντοίῃ*.

132 ex Suida s. v. *κωλώτης*, *ὁ ἀσκαλαβώτης*. Cfr. Aristot. H. A. 9, 1.

133 *L* refinxit ex Bodleiano p. 96 Cor., ubi est: *στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζῴων ποικιλωτέραν δέρριν. πρὸς ἣν ἀλώπηξ εἶπεν· "ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω."* Paullo auctius Eustathius Opuscc. p. 353, 45: *Εἰσάγεται ἐν τοῖς Αἰσώπου μύθοις ἡ πάρδαλις ἐπισκώπτουσα τὴν ἀλώπεκα, ὡς η μὲν ποικίλη τε εἴη καὶ ταῖς φολίδεσσι κατάστικτος, ἡ δὲ αὐχμηρὰ τὴν δορὰν καὶ τὴν χρόαν παντάπασιν ἀκαλλής. ἀλλ' ἥ γε ἀλώπηξ "Σὺ μὲν τοῖς φαινομένοις νικᾷς" ἔφησε "κάλλεσιν· ἐγὼ δὲ τοῖς κρυφίοις τε καὶ λανθάνουσιν."*

134 apud Cor. p. 42 est 1 *Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρών*, unde *L Σκύμνον λύκου νεογνὸν εὗρέ τις ποιμήν*. Id mutavi: Nauckius Ar. Byz. p. 113 *Ποιμὴν νεογνὸν εὗρέ τις λύκου σκύμνον*. De fabula cfr. Ahrens Philol. VII, 439.

135 Cor. p. 174, fab. 349 et 349[b] Halm.

136 Cor. p. 157 ex cod. Bodleiano, fab. 287[c] Halm. 3 *φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθὲν B*, unde *L* posuit *μή πω καπνισθὲν* .... Sed Babrius non erat correpturus priorem v. *καπνισθέν*. Ergo omisi.

137 Dositheus Mag. p. 37 Boecking. 3 *ἱκέτευε* Fixius. 10 *προσέχειν* Georgides Gnomol. p. 48, *προσέχειν νοῦν L* cum Boissonadio, *προσίσχειν* ego.

138 Cor. p. 163 et 385. 2 Suidas s. v. *τιττυβίζετε*, *ἐπὶ χελιδόνος*.

139 Suidas s. v. *στελεόν*. Cfr. Cor. p. 230. 407. 1 *πάντ' ἐγεννᾶτε* Bodl., *πάντα τίκτητε* Suidas, *πάντα τίκτοιτε* *L*

140 Cor. p. 164. *κυριευθῆναι* *C*, *κυριεύσεσθαι* *L*

141 Cor. p. 6 (Halm. 45ᵇ). Quod *L* posuit *κρημνόν* peccat in regulam Babrianam. In paraphrasi est *Τράγος ἐν θέρει σφοδρῶς διψήσας κατῆλθεν εἰς βαθύκρημνον ὕδωρ πιεῖν.* Quae sunt ibi: *Ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη* apud Babrium forsitan fuerint:

Κερδὼ δὲ τοῦτον εἰσιδοῦσ' ἔφη τοῖα.

142 Tzetzes Chill. 9, 168.

143 Suidas in *γέρανος* et *ταὼς εὐπήληξ*. 1. 2 *ἢ ταὼς ἵν' εὐπήληξ* et *βόσκοιτο* *L* *λείμακος* Levisius, *χείματος* Suidas et *L*. Fabula ignota: nam Lachmanni suspicio de fab. Cor. p. 36. 312 parum probabilis.

144 Cor. p. 227.

145 Cor. p. 183.

146 Suidas in *ἠίων· ἀχύρων*. *ἤια λύειν* libri, *ἤι' ἀλλύειν* Toupius.

147 Lachmanni resecui, cum eos versus apud Apoll. Soph. lex. Hom. p. 10, 13 Callimachi esse docuerim.

Fabula Cor. 283, Halm. 410 *Φαλακρὸς ἱππεύς. Φαλακρός τις ξένας τρίχας τῇ ἑαυτοῦ περιθεὶς κεφαλῇ ἵππευεν. Ἄνεμος δὲ φυσήσας ἀφεῖλε ταύτας· γέλως δὲ πλατὺς τοὺς παρεστῶτας εἶχε. Κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· "τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον;"* Hinc Levisius hos tres versus exculpsit fr. XIII p. 145:

Γέλως πλατὺς δ' ἄρ' εἶχε τοὺς παρεστῶτας.
Κἀκεῖνος αὐτοῖς εἶπε, τοῦ δρόμου παύσας·
„τὰς οὐκ ἐμὰς τρίχας τί με ξένον φεύγειν;"

Rectius, credo, ita instaurabimus:

Ταύτας δ' ἀφεῖλεν ἄνεμος ἄκρα φυσήσας.
γέλως δὲ πάντας εἶχε τοὺς παρεστῶτας.
κἀκεῖνος αὐτοῖς εἶπε τοῦ δρόμου παύσας·
„τί δὴ ξένον τὰς οὐκ ἐμὰς τρίχας φεύγειν" ....

Ultima scitius Avianus fab. 10.

Apud Cor. 170 p. 105:

Ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν
ὥρᾳ κρύους. ἐπεὶ δὲ θέρμης ᾔσθετο,

ἔπληξε τὸν θάλψαντα κἄκτεινεν τάχος.
στένων δ' ὁ πληχθεὶς τόνδε τὸν στίχον ἔφη·
Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας.
οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.

Babrii versum agnovit Levisius fr. XIV.

Fab. 183 p. 114 Cor. ἔχις καὶ ἀλώπηξ haec est: *Καί τις ἄμπελος πλησίον εἶχε τοῦ ποταμοῦ τὸν φραγμόν. τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπῄει. Τῇ δὲ παλιούρῳ δράκων τις συνεπλάκη, ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ. Καί τις κατιδὼν ἔφη γελάσας μέγα· Ἡ μὲν ναῦς κακή, ἀξία δὲ τοῦ ναύτου. Ὁ μῦθος δηλοῖ, ὅτι δικαίως οἱ κακοὶ σὺν κακοῖς ἀπόλλυνται.* Hinc elicuit Levisius fr. XV:

ἡ ναῦς κακὴ μὲν, ἀξία δὲ τοῦ ναύτου.
κακοὶ δικαίως σὺν κακοῖς ἀπόλλυνται.

At alter legem Babrianam migrat, alter fuerit:

κακὴ μὲν ἡ ναῦς, ἀξίη δὲ τοῦ ναύτου.

Vestigia choliamborum satis manifesta etiam aliis in fabulis facile agnoscas, veluti, ut exemplo utamur, in fab. 281 Halmii, 235 p. 154 Cor., coll. p. 380, ubi in numeros innumeros redacta est: *Λύκος καὶ ὄνος. Λύκος τῶν λοιπῶν λύκων στρατηγήσας πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας, ἵν' ὅ τι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ, εἰς μέσον ἀγάγῃ καὶ μοιράσῃ τοῖς πᾶσιν. Ταῦτ' οὖν ὄνος ἀκηκοὼς τὴν χαίτην ἔσεισε καὶ γελῶν ἔφη τάδε· "καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων· ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν κοίτῃ παρέθου τῇ ἰδίᾳ λαθραίως εἰς τροφήν σοι; κόμισον ταύτην μερισθῆναι τοῖς πᾶσιν." Ὁ δὲ θαμβηθεὶς κατέλυσε τοὺς νόμους.* Tentemus ergo:

Λύκος μέγας τις τῶν λύκων στρατηγήσας
ἔταξε . . . . νόμον πᾶσιν,
ἵν' ὅ τι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ
ἐς μέσσον ἀγάγῃ τοῖς τε πᾶσι μοιράσῃ.
ταῦτ' οὖν ἀκούσας ὄνος ἔσεισε τὴν χαίτην
. . . . . . καὶ γελῶν ἔφη ταῦτα.
"καλῶς ἔλεξας, ὦ λύκων δυναστεύων·
πῶς οὖν, κράτισθ', ἣν χθιζὸς ἐκράτεις ἄγρην
. . . . . . λαθραῖον εἰς θοίνην;
Κόμισον σὺ ταύτην, ἵνα μερισθῇ τοῖς πᾶσιν."

Alia sperari possunt ex codice Bodleiano n. 2906 a Tyrwhitto non satis exhausto, nuper a J. Zuendelio denuo consulto, v. Mus. Rhen. 1847, V p. 639 sq. Is vir doctus fab. 96[b] Halm. initium ita refingit:

Ὄφις γεωργοῦ πρὸς θύραισι φωλεύων
ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας.

Scribebam Gottingae mense Maio MDCCCLIII.

ΒΑΒΡΙΟΥ

ΜΥΘΙΑΜΒΟΙ ΑΙΣΩΠΕΙΟΙ.

Γενεὴ δικαίων ἦν τὸ πρῶτον ἀνθρώπων,
ὦ Βράγχε τέκνον, ἣν καλοῦσι χρυσείην.
* * * * * * * * * *
τρίτη δ' ἀπ' αὐτῶν τις ἐγενήθη χαλκείη,
μεθ' ἣν γενέσθαι φασὶ θείαν ἡρώων.
πέμπτη σιδηρᾶ ῥίζα καὶ γένος χεῖρον.
ἐπὶ τῆς δὲ χρυσῆς καὶ τὰ λοιπὰ τῶν ζῴων
φωνὴν ἔναρθρον εἶχε καὶ λόγους ᾔδει·
ἀγοραὶ δὲ τούτων ἦσαν ἐν μέσαις ὕλαις.
ἐλάλει δὲ πέτρα καὶ τὰ φύλλα τῆς πεύκης,
ἐλάλει δὲ πόντος, Βράγχε, νηὶ καὶ ναύτῃ,
στρουθοὶ δὲ συνετὰ πρὸς γεωργὸν ὡμίλουν.
ἐφύετ' ἐκ γῆς πάντα μηδὲν αἰτούσης,
θνητῶν δ' ὑπῆρχε καὶ θεῶν ἑταιρείη.
μάθοις δ' ἂν οὕτω ταῦτ' ἔχοντα καὶ γνοίης
ἐκ τοῦ σοφοῦ γέροντος ἡμῶν Αἰσώπου
μύθους φράσαντος τῆς παλαιτέρας μούσης.
ὧν νῦν ἕκαστον ἵνα θέῃς ἐνὶ μνήμῃ
μελισταγές σοι, λῷστε, κηρίον θήσω,
πικρῶν ἰάμβων σκληρὰ κῶλα συνθλάσσας.

1 Ἄνθρωπος ἦλθεν εἰς ὄρος κυνηγήσων,
τόξου βολῆς ἔμπειρος· ἦν δὲ τῶν ζῴων

φυγή τε πάντων καὶ φόβου δρόμος πλήρης.
λέων δὲ μοῦνος προὐκαλεῖτο θαρσήσας
αὐτῷ μάχεσθαι. „μεῖνον“ εἶπε, „μὴ σπεύσῃς“
ἄνθρωπος αὐτῷ, „μηδ᾽ ἐπελπίσῃς νίκῃ·
τῷ δ᾽ ἀγγέλῳ μου πρῶτον ἐντυχὼν γνώσῃ
τί σοι πτοητόν ἐστιν.“ εἶτα τοξεύει
μικρὸν διαστάς. χὠ μὲν οἰστὸς ἐκρύφθη
λέοντος ὑγραῖς χολάσιν· ὁ δὲ λέων δείσας
ὥρμησε φεύγειν ἐς νάπας ἐρημαίας.
τούτου δ᾽ ἀλώπηξ οὐκ ἄπωθεν εἱστήκει.
ταύτης δὲ θαρσεῖν καὶ μένειν κελευούσης,
„οὔ με πλανήσεις“ φησίν, „οὐδ᾽ ἐνεδρεύσεις·
ὅπου γὰρ οὕτω πικρὸν ἄγγελον πέμπει,
πῶς αὐτὸς ἤδη φοβερός ἐστι γιγνώσκω.“

Ὅτι δεῖ ἐκ τῶν προσφερομένων γινώσκειν τὴν ἑκάστου διάθεσιν. καὶ ὅτι ἡ σοφία τῆς δυνάμεως διαφέρει.

2 Ἀνὴρ γεωργὸς ἀμπελῶνα ταφρεύων
καὶ τὴν δίκελλαν ἀπολέσας ἐπεζήτει,
μὴ τῶν παρόντων τις ὑπέκλεψεν ἀγροίκων.
ἠρνεῖθ᾽ ἕκαστος. οὐκ ἔχων δ᾽ ὃ ποιήσει,
εἰς τὴν πόλιν κατῆγε πάντας ὁρκώσων·
τῶν γὰρ θεῶν δοκοῦσι τοὺς μὲν εὐήθεις
ἀγροὺς κατοικεῖν, τοὺς δ᾽ ἐσωτέρω τείχους
εἶναί τ᾽ ἀληθεῖς καὶ τὰ πάντ᾽ ἐποπτεύειν.
ὡς δ᾽ εἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
τοὺς πόδας ἔνιζον κἀπέθεντο τὰς πήρας,
κῆρυξ ἐφώνει χιλίας ἀριθμήσειν
μήνυτρα σύλων ὧν ὁ θεὸς ἐσυλήθη.
ὁ δὲ τοῦτ᾽ ἀκούσας εἶπεν „ὡς μάτην ἥκω·
κλέπτας γὰρ ἄλλους πῶς θεός γ᾽ ἂν εἰδείη,

ὃς τοὺς ἑαυτοῦ φῶρας οὐχὶ γιγνώσκει,
ζητεῖ δὲ μισθοῦ μή τις οἶδεν ἀνθρώπων;“

Ὅτι χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις ὧν οὐκ εἰσὶ δεσπιστά (δεσπόται?).

3 Αἶγάς ποτ' εἰς ἔπαυλιν αἰπόλος κλήζων
[ἐπὶ σηκὸν ἄγειν θ', ὡς αἳ μὲν ἦλθον, αἳ δ' οὔπω,]
μιᾶς ἀπειθοῦς ἐν φάραγγι τρωγούσης
κόμην γλυκεῖαν αἰγίλου τε καὶ σχίνου
τὸ κέρας κατῆξε μακρόθεν λίθῳ πλήξας.
τὴν δ' ἱκέτευε „μή, χίμαιρα συνδούλη,
πρὸς τοῦ σε Πανός, ὃς νάπας ἐποπτεύει,
τῷ δεσπότῃ, χίμαιρα, μή με μηνύσῃς·
ἄκων γὰρ ηὐστόχησα τὸν λίθον ῥίψας.“
ἡ δ' εἶπε „καὶ πῶς ἔργον ἐκφανὲς κρύψω;
τὸ κέρας κέκραγε, κἂν ἐγὼ σιωπήσω.“

Ὅτι τὰ δημοσίᾳ ἁμαρτηθέντα κατ' οὐδένα τρόπον χρὴ κρύπτειν.

4 Ἁλιεὺς σαγήνην, ἣν νεωστὶ βεβλήκει,
ἀνείλετ'· ὄψου δ' ἔτυχε ποικίλου πλήρης.
τῶν δ' ἰχθύων ὁ λεπτὸς εἰς βυθὸν φεύγων
ὑπεξέδυνε δικτύου πολυτρήτου,
ὁ μέγας δ' ἀγρευθεὶς εἰς τὸ πλοῖον ἡπλώθη.
σωτηρία πώς ἐστι καὶ κακῶν ἔξω
τὸ μικρὸν εἶναι· τὸν μέγαν δὲ τῇ δόξῃ
σπανίως ἴδοις ἂν ἐκφυγόντα κινδύνους.

5 Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
οἷς θυμὸν εἶναί φασιν οἷον ἀνθρώποις.
τούτων ὁ λειφθείς (τραυμάτων γὰρ ἦν πλήρης)
ἔκυπτ' ἐς οἴκου γωνίην ὑπ' αἰσχύνης·
ὁ δ' ἄλλος εὐθὺς εἰς τὸ δῶμα πηδήσας

ἐπικροτῶν τε τοῖς πτεροῖς ἐκεκράγει.
καὶ τὸν μὲν αἰετός τις ἐκ στέγους ἄρας
ἀπῆλθ᾽· ὁ δ᾽ ἄλλος ἀμφέβαινε θηλείαις,
ἀμείνονα σχὼν τἀπίχειρα τῆς ἥττης.
[ἄνθρωπε, καὶ σὺ μή ποτ᾽ ἴσθι καυχήμων,
ἄλλου σε πλεῖον τῆς τύχης ἐπαιρούσης.
πολλοὺς ἔσωσε καὶ τὸ μὴ καλῶς πράττειν.]

6 Ἁλιεὺς θαλάσσης πᾶσαν ᾐόνα ξύων
λεπτῷ τε καλάμῳ τὸν γλυκὺν βίον σῴζων
μικρόν ποτ᾽ ἰχθὺν ὁρμιῆς ἀφ᾽ ἱππείης
ἤγρευσεν, οὐ τῶν εἰς τάγηνον ὡραίων.
ὁ δ᾽ αὐτὸν οὕτως ἱκέτευεν ἀσπαίρων·
„τί σοι τὸ κέρδος; ἢ τίν᾽ ὦνον εὑρήσεις;
οὐκ εἰμὶ γὰρ τέλειος, ἀλλά με πρῴην
πρὸς τῇδε πέτρῃ φυκὶς ἔκυσ᾽ ἐμὴ μήτηρ.
νῦν οὖν ἄφες με, μὴ μάτην ἀποκτείνῃς.
ἐπὴν δὲ πλησθεὶς φυκίων θαλασσαίων
μέγας γένωμαι, πλουσίοις πρέπων δείπνοις,
τότ᾽ ἐνθάδ᾽ ἐλθὼν ὕστερόν με συλλήψῃ.“
τοιαῦτα μύζων ἱκέτευε κἀσπαίρων,
ἀλλ᾽ οὐκ ἔμελλε τὸν γέροντα θωπεύσειν·
ἔφη δὲ πείρων αὐτὸν ὀξέῃ σχοίνῳ
„ὁ μὴ τὰ μικρά, πλὴν βέβαια, τηρήσας
μάταιός ἐστιν, ἢν ἄδηλα θηρεύῃ.“

7 Ἄνθρωπος ἵππον εἶχε. τοῦτον εἰώθει
κενὸν παρέλκειν, ἐπετίθει δὲ τὸν φόρτον
ὄνῳ γέροντι. πολλὰ τοιγαροῦν κάμνων
ἐκεῖνος ἐλθὼν πρὸς τὸν ἵππον ὡμίλει
„ἄν μοι θελήσῃς συλλαβεῖν τι τοῦ φόρτου,
τάχ᾽ ἂν γενοίμην σῷος· εἰ δὲ μή, θνήσκω.“

ὁ δ' „οὐ προάξεις;" εἶπε „μή μ' ἐνοχλήσῃς."
εἷρπεν σιωπῶν, τῷ κόπῳ δ' ἀπαυδήσας
πεσὼν ἔκειτο νεκρός, ὡς προειρήκει.
τὸν ἵππον οὖν παρ' αὐτὸν εὐθέως στήσας
ὁ δεσπότης καὶ πάντα τὸν γόμον λύων
ἐπ' αὐτὸν ἐτίθει τὴν σάγην τε τοῦ κτήνους,
καὶ τὴν ὀνείην προσεπέθηκεν ἐκδείρας.
ὁ δ' ἵππος „οἴμοι τῆς κακῆς" ἔφη „γνώμης·
οὐ γὰρ μετασχεῖν μικρὸν οὐκ ἐβουλήθην,
τοῦτ' αὐτό μοι πᾶν ἐπιτέθεικεν ἡ χρεία."

8 Ἄραψ κάμηλον ἀχθίσας ἐπηρώτα
πότερ' ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν
αἱροῖτο. χὠ κάμηλος οὐκ ἄτερ μούσης
εἶφ' „ἡ γαρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη."

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας διεστραμμένους τῆς εὐθείας ὁδοῦ ἐκκλίνοντας.

9 Ἁλιεύς τις [αὐλοὺς εἶχε καὶ σοφῶς ηὔλει,
καὶ δή ποτ'] ὄψον ἐλπίσας ἀμοχθήτως
πολὺ πρὸς αὐλῶν ἡδυφωνίην ἄξειν,
τὸ δίκτυον θεὶς ἐτερέτιζεν εὐμούσως.
ἐπεὶ δὲ φυσῶν ἔκαμε καὶ μάτην ηὔλει,
βαλὼν σαγήνην ἔλαβεν ἰχθύας πλείστους.
ἐπὶ γῆς δ' ἰδὼν σπαίροντας ἄλλον ἀλλοίως,
τοιαῦτ' ἐκερτόμησε, τὸν βόλον πλύνων.
„ἄναυλα νῦν ὀρχεῖσθε. κρεῖσσον ἦν ὑμᾶς
πάλαι χορεύειν, ἡνίκ' εἰς χοροὺς ηὔλουν."
οὐκ ἔστιν ἀπόνως οὐ καμόντα κερδαίνειν·
ὅταν βαλὼν δὲ τοῦθ' ἕλῃς ὅπερ βούλει,
τὸ κερτομεῖν σοι καιρός ἐστι καὶ παίζειν.

Ὁ μῦθος λέλεκται πρὸς τοὺς ματαίως παρὰ τὸ δέον τι ἐργαζομένους.

10 Αἰσχρᾶς τις ἤρα καὶ κακορρύπου δούλης
ἰδίας ἑαυτοῦ, καὶ παρεῖχεν αἰτούσῃ
ἅπανθ' ἑτοίμως. ἡ δὲ χρυσίου πλήρης,
σύρουσα λεπτὴν πορφύραν ἐπὶ κνήμας,
πᾶσαν μάχην συνῆπτεν οἰκοδεσποίνῃ.
τὴν δ' Ἀφροδίτην ὥσπερ αἰτίην τούτων
λύχνοις ἐτίμα, καὶ καθ' ἡμέραν πᾶσαν
ἔθυεν ηὔχεθ' ἱκέτευεν ἠρώτα,
ἕως ποτ' αὐτῶν ἡ θεὸς καθευδόντων
ἦλθεν καθ' ὕπνους, καὶ φανεῖσα τῇ δούλῃ
„μή μοι χάριν σχῇς ὡς καλήν σε ποιούσῃ.
τούτῳ κεχόλωμαι“ φησίν „ᾧ καλὴ φαίνῃ.“
[ἅπας ὁ τοῖς αἰσχροῖσιν ὡς καλοῖς χαίρων
θεοβλαβής τίς ἐστι καὶ φρένας πηρός.]

11 Ἀλώπεκ' ἐχθρὰν ἀμπέλων τε καὶ κήπων
ξένῃ θελήσας περιβαλεῖν τις αἰκίῃ,
τὴν κέρκον ἅψας καὶ λίνον τι προσδήσας
ἀφῆκε φεύγειν. τὴν δ' ἐπίσκοπος δαίμων
ἐς τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει
τὸ πῦρ φλέγουσαν. ἦν δὲ ληίων ὥρη
καὶ καλλίπαις ἄμητος ἐλπίδων πλήρης.
ὁ δ' ἠκολούθει τὸν πολὺν κόπον κλαίων,
οὐδ' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
χρὴ πρᾷον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.
ἔστιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
αὐτοῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.

Θυμῷ χρῆσθαι κατὰ τῶν πέλας ἀμέτρῳ καλὸν οὐκ ἔνι.

12 Ἀγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει

τὸν Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ὥρης.
ἐκ τοῦ μέλους δ' ἔγνωσαν αἱ δύ' ἀλλήλας,
καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν.
χἡ μὲν χελιδὼν εἶπε „φιλτάτη, ζώεις;
πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην.
ἀεί τις ἡμᾶς πικρὸς ἔσχισεν δαίμων·
καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων.
ἀλλ' ἐλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις.
[ὕπαιθρον ὕλην λεῖπε, καὶ παρ' ἀνθρώποις
ὁμώροφόν μοι δῶμα καὶ στέγην οἴκει.]
τί σε δροσίζει πηκτὸς ἔννυχος στίβη,
καὶ καῦμα θάλπει, πάντα δ' ἀγρότιν τήκει;
ἄγε δὴ σεαυτήν, σοφὰ λαλοῦσα, μηνύσῃς
ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις."
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη·
„ἔα με πέτραις ἐμμένειν ἀοικήτοις,
καὶ μή μ' ὀρεινῆς ὀργάδος σὺ χωρίσσῃς.
μετὰ τὰς Ἀθήνας ἄνδρα καὶ πόλιν φεύγω·
οἶκος δέ μοι πᾶς κἀπίμιξις ἀνθρώπων
λύπην παλαιῶν συμφορῶν ἀναξαίνει."
παραμυθία τίς ἐστι τῆς κακῆς μοίρης
λόγος σοφὸς καὶ μοῦσα καὶ φυγὴ πλήθους·
λύπη δ', ὅταν τις οἷς ποτ' εὐθενῶν ὤφθη,
τούτοις ταπεινὸς αὖθις ὢν συνοικήσῃ.

Ὅτι συμφέρει τῷ ἠδικημένῳ πόρρω γενέσθαι τῶν εἰς ἀνάμνησιν αὐτὸν φερόντων κακῶν.

13 Αὔλαξι λεπτὰς παγίδας ἀγρότης πήξας
γεράνους σποραίων πολεμίας συνειλήφει.
τοῦτον πελαργὸς ἱκέτευε χωλεύων
(ὁμοῦ γὰρ αὐταῖς καὶ πελαργὸς ἡλώκει)

„οὐκ εἰμὶ γέρανος, οὐ σπόρον καταφθείρω.
πελαργός εἰμι (χἠ χρόη με σημαίνει),
πτηνῶν πελαργὸς εὐσεβέστατον ζῴων.
τὸν ἐμὸν τιθηνῶ πατέρα καὶ νοσηλεύω."
κἀκεῖνος „ὦ πελαργέ, τίνι βίῳ χαίρεις,
οὐκ οἶδα" φησίν· „ἀλλὰ τοῦτο γινώσκω,
ἔλαβόν σε σὺν ταῖς τἄργα τἀμὰ πορθούσαις.
ἀπολῇ μετ' αὐτῶν τοιγαροῦν, μεθ' ὧν ἥλως."
[κακοῖς ὁμιλῶν ὡς ἐκεῖνοι μισήσῃ,
κἂν μηδὲν αὐτὸς τοὺς πέλας καταβλάψῃς.]

Ὁ λόγος διδάσκει φεύγειν ἡμᾶς τὰς τῶν πονηρῶν ἀνθρώπων κοινωνίας, ἵνα μὴ τῇ αὐτῶν κακίᾳ συναπολώμεθα.

14 Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει·
νεκρὸν γὰρ αὐτοῦ σῶμ' ἔφασκε μὴ σύρειν.
πρὸς ἣν ἀλώπηξ εἶπε „μᾶλλον ᾑρούμην
εἰ νεκρὸν εἷλκες, τοῦ δὲ ζῶντος οὐχ ἥπτου."
ὁ ζῶντα βλάπτων μὴ νεκρόν με θρηνείτω.

15 Ἀνὴρ Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
κοινῶς ὁδεύων, ὥσπερ εἰκός, ὡμίλει.
ῥέων δ' ὁ μῦθος ἦλθε μέχρις ἡρώων· —
μακρὴ μὲν ἄλλως ῥῆσις οὐδ' ἀναγκαίη —
τέλος δ' ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
ὁ δ' ἐξ Ἀθηνῶν ἔλεγεν ὡς πολὺ κρείσσων
Θησεὺς γένοιτο, καὶ τύχης ὁ μὲν θείης
ὄντως λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
λέγων δ' ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ.
ὁ δ' ἄλλος ὡς Βοιωτὸς οὐκ ἔχων ἴσην
λόγοις ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ

„πέπαυσο· νικᾷς. τοιγαροῦν χολωθείη
Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις.“

Ὅτι οὐ δεῖ τοὺς μεγιστᾶνας κινεῖν εἰς ὀργὴν κατὰ τῶν ὑπεξουσίων εἰς ματαιολογίας καὶ ἔριδας.

16 Ἄγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι „παῦσαι, μή σε τῷ λύκῳ ῥίψω.“
ὁ λύκος δ' ἀκούσας τήν τε γραῦν ἀληθεύειν
νομίσας ἔμεινεν ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἑσπέρης ἐκοιμήθη,
αὐτὸς δὲ πεινῶν καὶ λύκος χανὼν ὄντως
ἀπῆλθε νωθραῖς ἐλπίσιν παρεδρεύσας.
λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα
„πῶς οὐδὲν ἄρας ἦλθες, ὥσπερ εἰώθεις;“
ὁ δ' εἶπε „πῶς γάρ, ὃς γυναικὶ πιστεύω;“

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, γυναικὶ δὲ μάλιστα μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. πρὸς τὸν κεναῖς ἀπάταις (ἐλπίσιν Menas) *ἐξαπατηθέντα.*

17 Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων,
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη.
τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν,
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·
„πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
οὐδεὶς δ' ὀδόντας ζῶντος εἶχεν αἰλούρου.“

Πρὸς τοὺς ἀπὸ πείρας γνωρισθέντας κακούργους, καὶ μηκέτι ταῖς τούτων ὑποκρίσεσί τινα ἐξαπατᾶσθαι.

18 Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι, πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σίσυρναν ἐκδύσει.
βορέης δ' ἐφύσα πρῶτος οἷος ἐκ Θρᾴκης,

βίᾳ νομίζων τὸν φοροῦντα συλήσειν·
ὁ δ' οὐ μεθῆκε, μᾶλλον ἀλλὰ ῥιγώσας
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας
καθῆστο, πέτρης νῶτον ἐξοχῇ κλίνας.
ὁ δ' ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους,
ἔπειτα δ' αὖ προσῆγε τὴν ἕλην πλείω·
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης,
αὐτὸς δὲ ῥίψας τὴν σισύραν ἐγυμνώθη.
βορέης μὲν οὕτω συγκριθεὶς ἐνικήθη·
λέγει δ' ὁ μῦθος „πραότητα, παῖ, ζήλου.
ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίᾳ ῥέζων."

Μῦθος παραινῶν ὅτι οὐ χρὴ φιλόνεικον εἶναι, ἀλλὰ πραΰτητι καὶ πειθοῖ ἀνύειν τὰ ἀνήκοντα.

19 Βότρυς μελαίνης ἀμπέλου παρ' αἰώρῃ
ἀπεκρέμαντο. τοὺς δὲ ποικίλη πλήρεις
ἰδοῦσα κερδὼ πολλάκις μὲν ὡρμήθη
πηδῶσα ποσσὶ πορφυρῆς θιγεῖν ὥρης·
ἦν γὰρ πέπειρος κεἰς τρύγητον ἀκμαία.
κάμνουσα δ' ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν),
παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην·
„ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην."

Ὁ μῦθος ἐλέγχει τοὺς εἰς ἀνέκβατα κοπιῶντας πράγματα καὶ τούτων ἀστοχοῦντας τρόπους ψευδεῖς προβαλλομένους.

20 Βοηλάτης ἅμαξαν ἦγεν ἐκ κώμης.
τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν αὐτόν, ἀργὸς εἱστήκει,
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα.
θεὸς δ' ἐπιστὰς εἶπε „τῶν τροχῶν ἅπτου

καὶ τοὺς βόας κέντριζε. τοῖς θεοῖς δ' εὔχου,
ὅταν τι ποιῇς καὐτός, ἢ μάτην εὔξῃ."

21 Βόες μαγείρους ἀπολέσαι ποτ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίαν ἐπιστήμην,
καὶ δὴ συνηθροίζοντο πρὸς μάχην ἤδη
κέρατ' ἀποξύνοντες. εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς, πολλὰ γῆν ἀροτρεύσας,
„οὗτοι μὲν ἡμᾶς" εἶπε „χερσὶν ἐμπείροις
σφάζουσι καὶ κτείνουσι χωρὶς αἰκίης·
ἢν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,
διπλοῦς τότ' ἔσται θάνατος. οὐ γὰρ ἐλλείψει
τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ."
ὁ τὴν παροῦσαν πημονὴν φυγεῖν σπεύδων
ὁρᾶν ὀφείλει μή τι χεῖρον ἐξεύρῃ.

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν σοφοῖς καὶ ἐπιεικέσιν ἢ δεσπόζεσθαι ὑπὸ σκαιῶν τε καὶ ἀπαιδεύτων.

22 Βίου τις ἤδη τὴν μέσην ἔχων ὥρην
(νέος μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεσβύτης)
λευκαῖς μελαίνας μιγάδας ἐκλόνει χαίτας,
εἶτ' εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους.
ἤρα γυναικῶν δύο, νέας τε καὶ γραίας.
νέον μὲν αὐτὸν ἡ νεᾶνις ἐζήτει
βλέπειν ἐραστήν, συγγέροντα δ' ἡ γραίη.
τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαία
ἔτιλλεν ἃς ηὕρισκε λευκανθιζούσας,
ἔτιλλε δ' ἡ γραῦς εἰ μέλαιναν ηὑρήκει,
ἕως φαλακρὸν ἡ νέα τε χἠ γραίη
ἔθηχ', ἑκατέρη τῶν τριχῶν ἀποσπῶσα·
[ἀεὶ γὰρ ἓν γε τιλλόμενος ἐγυμνοῦτο.
φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·

ἐλεεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει·
ἀεὶ γὰρ ἕν γε δακνόμενος ἀναλοῦται.]

23 Βοηλάτης ἄνθρωπος εἰς μακρὰν ὕλην
ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει.
ἔθηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,
Ἑρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ, ἄρνα
λοιβὴν παρασχεῖν, εἰ λάβοι γε τὸν κλέπτην.
ὄχθον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον
λέοντι θοίνην· δυστυχὴς δ' ἐπαρᾶται
καὶ βοῦν προσάξειν, εἰ φύγοι γε τὸν κλέπτην.
[ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν,
ἄβουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,
ἐκ τῆς πρὸς ὥραν ἐκφοβουμένους λύπης.]

24 Γάμοι μὲν ἦσαν Ἡλίου θέρους ὥρῃ,
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ κώμους.
καὶ βάτραχοι δὲ λιμναίους χοροὺς ἦγον·
οὓς εἶπε παύσας φρῦνος „οὐχὶ παιάνων
τοῦτ' ἐστὶν ἡμῖν, φροντίδων δὲ καὶ λύπης·
ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὑαίνει,
τί μὴ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
ὅμοιον αὑτῷ παιδίον τι γεννήσῃ;"
[χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.]

25 Γνώμη λαγωοὺς εἶχε μηκέτι ζῴειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθοὕνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων

βαθέην ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,
ἐπεστάθησαν, καί τις εἶπε θαρσήσας
„ἄψ νῦν ἴωμεν. οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἄλλους ἀσθενεστέρους ἡμῶν.“

26 Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.
ὁ δ' ἄχρι πολλοῦ σφενδόνην κενὴν σείων
ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.
αἱ δ' ὡς ἐπέσχον, σφενδονῶντα τὰς αὔρας
κατεφρόνησαν λοιπὸν ὥστε μὴ φεύγειν,
ἕως ἐκεῖνος οὐκέθ' ὡς πρὶν εἰώθει,
λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.
αἱ δ' ἐκλιποῦσαι τὴν ἄρουραν, ἀλλήλαις
„φεύγωμεν“ ἐκραύγαζον „εἰς τὰ Πυγμαίων.
ἄνθρωπος οὗτος οὐκέτ' ἐκφοβεῖν ἡμᾶς
ἔοικεν, ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν.“

Παραίνεσιν ὁ λόγος ἔχει, δεῖν ταῖς ἐκ λόγων παραινέσεσι πταίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναις.

27 Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας
ἔπνιγεν ὑδάτων ἐν συναγγίᾳ κοίλῃ.
τῆς δ' αὖ λεγούσης „ὡς κακὴν χάριν τίνεις
ὧν σ' ὠφέλουν θηρῶσα μῦς τε καὶ σαύρας,“
‚ἐπιμαρτυρῶ σοι‘ φησίν· ‚ἀλλὰ καὶ πάσας
ἔπνιγες ὄρνεις, πάντα δ' οἶκον ἠρήμους,
βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσ' ἡμᾶς.‘

Πρὸς τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ τὰ μεγάλα, εὔκαιρος ἐστὶν ὁ λόγος.

28 Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων.
ἐλθοῦσα δ' αὐτόν (οὐ παρῆν γάρ) ἡ μήτηρ

παρὰ τῶν ἀδελφῶν ποῦ ποτ᾽ ἦν ἐπεζήτει.
„τέθνηκε, μῆτερ· ἄρτι πρωίης ὥρης
ἦλθεν πάχιστον τετράπουν, ὑφ᾽ οὗ κεῖται
χηλῇ μαλαχθείς.“ ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ᾽ ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί „παῦε, μὴ πρίου.
θᾶσσον σεαυτὴν“ εἶπον „ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου ποσσότητα μιμήσῃ.“

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

29 Γέρων ποθ᾽ ἵππος εἰς ἀλητὸν ἐπράθη,
* * * * * * *
ζευχθεὶς ὑπὸ μύλην ἑσπέρην τάλας πᾶσαν,
καὶ δὴ στενάξας εἶπεν „ἐκ δρόμων οἵων
καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω.“
μὴ λίην ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον.
πολλοῖς τὸ γῆρας εἰς πόνους ἀνηλώθη.

30 Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ᾽ ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνημ᾽ ὡς θεὸν καθιδρύσων.
ἦν δ᾽ ὀψέ, χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις,
„σὺ δή“ λέγοντα „τἀμὰ νῦν ταλαντεύῃ·
ἓν γάρ με, νεκρὸν ἢ θεόν, σὺ ποιήσεις.“

31 Γαλαῖ ποτ᾽ εἶχον καὶ μύες πρὸς ἀλλήλους
ἄσπονδον αἰεὶ πόλεμον αἱμάτων πλήρη·
γαλαῖ δ᾽ ἐνίκων. οἱ μύες δὲ τῆς ἥττης

ἐδόκουν ὑπάρχειν αἰτίην σφίσιν ταύτην,
ὅτι στρατηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,
ἀεὶ δ᾽ ἀτάκτως ὑπομένουσι κινδύνους.
εἵλοντο τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ
γνώμῃ τ᾽ ἀρίστους, εἰς μάχην τε γενναίους,
οἳ σφᾶς ἐκόσμουν καὶ διεῖλον εἰς ἴλας
λόχους τε καὶ φάλαγγας, ὡς ἐν ἀνθρώποις.
ἐπεὶ δ᾽ ἐτάχθη πάντα καὶ συνηθροίσθη,
οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων
κάρφη μετώποις ἁρμόσαντες ἀκραίοις
ἡγοῦντο παντὸς ἐκφανέστατοι πλήθους,
καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας.
πάλιν δὲ φύζα τοὺς μύας κατειλήφει.
ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς εἰστρέχοντας οὐκ εἴα
τὰ περισσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
μόνοι θ᾽ ἑάλον αὐτόθεν μυχῶν πρόσθεν.
νίκης δ᾽ ἐπ᾽ αὐτοῖς καὶ τρόπαιον εἱστήκει,
γαλῆς ἑκάστης μῦν στρατηγὸν ἑλκούσης.
[λέγει δ᾽ ὁ μῦθος „εἰς τὸ ζῆν ἀκινδύνως
τῆς λαμπρότητος εὐτέλεια βελτίων.“]

32 Γαλῇ ποτ᾽ ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
δίδωσι σεμνὴ Κύπρις, ἡ πόθων μήτηρ,
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην
καλῆς γυναικός, ἧς τίς οὐκ ἰδὼν ἤρα;
ἰδὼν δ᾽ ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦς· τὸν δὲ τῆς βαθυστρώτου
καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη.

γάμου δὲ δαιτὴ λέλυτο, καὶ κακῶς παίξας
ἔρως ἀπῆλθε· τῇ φύσει γὰρ ἡττήθη.

Πρὸς τοὺς τὴν φύσιν τῶν πραγμάτων ὁρᾶν ὡς ἔχει μὴ βουλομένους, τῇ δὲ τούτων φαντασίᾳ πλανωμένους, ἔλεγχον ὁ μῦθος ἔχει.

33 Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη,
καί τις γεωργὸς πυρὸν εἰς νεὸν ῥίψας
ἐφύλασσεν ἑστώς· καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ' ὄλεθρος σπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος. οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον εἰ τὴν σφενδόνην ποτ' ᾐτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην τόν τε παῖδα φωνήσας
ἐδίδασκεν. „ὦ παῖ· χρὴ γὰρ ὀρνέων ἡμᾶς
σοφὸν δολῶσαι φῦλον. ἡνίκ' ἂν τοίνυν
ἔλθωσ', ἐγὼ μέν“ εἶπεν „ἄρτον αἰτήσω,
σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.“
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκην·
οἱ δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον, οἱ δ' ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε „φεύγετ' ἀνθρώπων
γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων.“
[δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

34 Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
ἅλω πλατεῖαν οἰνάροις ὑπεστρώκει.....
κρεῶν τραπέζας εἶχε καὶ πίθους οἴνου.
ἐκ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη,
κἀπῆλθ᾽ ἐς οἴκους γαστρὸς ὄγκον ἀλγήσας.
πεσὼν δ᾽ ἐν ὑγραῖς μητρὸς ἀγκάλαις „οἴμοι,
τί ταῦτ᾽;“ ἐφώνει „δυστυχὴς ἀποθνήσκω·
τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μου πίπτει.“
ἡ δ᾽ εἶπε „θάρσει κἀπόβαλλε, μὴ φείδου·
οὐ γὰρ σά, τέκνον, ἀλλ᾽ ἐμεῖς τὰ τοῦ ταύρου.“
ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας
ἔπειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.

35 Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
τεκοῦσα δ᾽ αὐτοῖς ἐστιν οὐκ ἴση μήτηρ,
ἀλλ᾽ ὃν μὲν αὐτῶν ἀθλίης ὑπ᾽ εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ᾽ ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει.
κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζῴει.
τοιοῦτο πολλῶν ἐστιν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς αἰεὶ μᾶλλον ἢ φίλος γίγνου.

36 Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ᾽ ἔσυρε κυμαίνων
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων,
πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρὸς ὄχθης ποταμίας ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τις ὢν κἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς ἐξεριζώθη.

σοφῶς δὲ κάλαμος εἶπε „μηδὲν ἐκπλήσσου.
σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ.“
κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ᾽ εἴκειν.

37 Δαμάλης ἐν ἀγροῖς ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ
„τάλας“ ἐφώνει „μόχθον οἷον ὀτλεύεις.“
ὁ βοῦς δ᾽ ἐσίγα χὐπέτεμνε τὴν χώρην.
ἐπεὶ δ᾽ ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ᾽ εἶπε φωνήσας·
„εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης.
ὁ νέος παρέρπεις τὸν γέροντα, καὶ θύῃ,
καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει.“

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.

38 Δρυτόμοι τινὲς σχίσαντες ἀγρίαν πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη
γένοιτό τ᾽ αὐτοῖς ὁ πόνος ὕστερον ῥᾴων.
πεύκη στένουσα „πῶς ἂν“ εἶπε „μεμφοίμην
τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
ἄλλος γὰρ ἄλλῃ μ᾽ ἐμπεσὼν διαρρήσσει.“
ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινὸν ἂν ὑπ᾽ ἀνθρώπων
πάθῃς τι τῶν ἔξωθεν ὡς ὑπ᾽ οἰκείων.

39 Δελφῖνες ἀεὶ διεφέροντο φαλαίναις.
τούτοις παρῆλθε καρκίνος μεσιτεύων,
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείαις
στάσιν τυράννων μαχομένων εἰρηνεύοι.

40 Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεζε. τοῦ δ' ὄνθου
φθάνοντος αὐτὴν εἶπεν „ἦ κακῶς πράττω·
ἔμπροσθεν ἤδη τἀξόπισθέ μου βαίνει.“
πόλις ἄν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.

41 Διαρραγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην σαύραν.
βλάψεις σεαυτόν, κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τόν σε λίαν ὑπερέχοντα μιμήσῃ.

42 Δεῖπνόν τις εἶχε λαμπρὸν ἐν πόλει θύσας.
ὁ κύων δὲ τούτου κυνὶ φίλῳ συναντήσας
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἦλθε· τὸν δὲ τοῦ σκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
ἐς τὴν ἄγυιαν. τῶν κυνῶν δ' ἐρωτώντων
ὅπως ἐδείπνησ', εἶπε „πῶς γὰρ ἂν κρεῖττον,
ὃς οὐδὲ ποίαν ἠλόων με γινώσκω;“

Ὅτι τοῖς μὴ λόγῳ τοῖς πράγμασιν ἐγχειροῦσιν ἕπεται πολλάκις τὸ κακῶς ἐν αὐτοῖς πάσχειν.

43 Ἔλαφος κεράστης ὑπὸ τὸ καῦμα διψήσας
λίμνης ὕδωρ ἔπινεν ἡσυχαζούσης.
ἐκεῖ δ' ἑαυτοῦ τὴν σκιὰν θεωρήσας
χηλῆς μὲν ἕνεκα καὶ ποδῶν ἐλυπήθη,

ἐπὶ τοῖς δὲ κέρασιν ὡς καλοῖς ἄγαν ηὔχει.
παρῆν δὲ νέμεσις, ἣ τὰ γαῦρα πημαίνει.
κυνηγέτας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
ὁμοῦ σαγήναις καὶ σκύλαξιν εὐρίνοις,
ἰδὼν δ' ἔφευγε, δίψαν οὐδέπω παύσας,
καὶ μακρὸν ἐπέρα πεδίον ἴχνεσιν κούφοις.
ἐπεὶ δὲ δὴ σύνδενδρον ἦλθεν εἰς ὕλην,
κέρατα θάμνοις ἐμπλακεὶς ἐθηρεύθη,
καὶ ταῦτ' ἔφη· „δύστηνος ὡς διεψεύσθην·
οἱ γὰρ πόδες μ' ἔσωζον, οἷς ἐπῃδούμην,
τὰ κέρατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην.“
[περὶ τῶν σεαυτοῦ πραγμάτων ὅταν κρίνῃς,
μηδὲν βέβαιον ὑπολάβῃς προγινώσκων,
μηδ' αὖτ' ἀπογνῷς, μηδ' ἀπελπίσῃς· οὕτω
σφάλλουσιν ἡμᾶς ἐνίοθ' αἱ πεποιθήσεις.]

44 Ἐνέμοντο ταῦροι τρεῖς ἀεὶ μετ' ἀλλήλων.
λέων δὲ τούτους συλλαβεῖν ἐφεδρεύων,
ὁμοῦ μὲν αὐτοὺς οὐκ ἔδοξε νικήσειν,
λόγοις δ' ὑπούλοις διαβολαῖς τε συγκρούων
ἐχθροὺς ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων
ἕκαστον αὐτῶν ἔσχε ῥᾳδίαν θοίνην.
ὅταν μάλιστα ζῆν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.

45 Ἔνιφεν ὁ Ζεύς· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων
τὰς αἶγας ἁδρῇ χιόνι λευκανθιζούσας.
εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας, πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ κρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,

τὰς δ' ἐνδίους ἀφῆκε μακρὰ λιμώττειν.
ὡς δ' ἠθρίαζε, τὰς μὲν εὗρε τεθνώσας,
αἱ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων
ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.
ὁ δ' αἰπόλος γελαστὸς ἦλθεν εἰς οἴκους,
αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰς κρείσσους,
οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης.

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει μηδαμῶς τῶν οἰκείων ἀμελεῖν, μάλιστα κέρδους ἕνεκα ἀμφιβόλου ὑπάρχοντος.

46 *Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήσας*
ἔκειτο πεδίων ἐν χλόῃ βαθυσχίνῳ,
ἐξ ἧς ἑτοῖμον χιλὸν εἶχε πεινήσας.
ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζῴων
ἐπισκοπούντων· ἦν γὰρ ἀβλαβὴς γείτων.
ἐλθὼν δ' ἕκαστος τῆς πόας ἀποτρώγων
*ᾔει πρὸς ὕλας· * * * * **
ἔλαφος δὲ λιμῷ κοὐ νόσῳ κατεσκλήκει,
μή πω κορώνην δευτέραν ἀναπλήσας,
ὃς εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει.

Ὁ μῦθος τοῦτο λέγει, δεῖν τὰ ὁπωσοῦν ἐπιόντα δεινὰ λόγοις ἐξευμαρίζειν ἠπίοις, καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.

47 *Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπεργήρως,*
εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων
(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν)
ἐκέλευε λεπτῶν, εἴ τις ἔστι που, ῥάβδων
δέσμην ἐνεγκεῖν. ἧκέ τις φέρων ταύτην.
„πειρᾶσθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ
ῥάβδους κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις.“
οἳ δ' οὐ γὰρ ἠδύναντο· „κατὰ μίαν τοίνυν
πειρᾶσθ'.“ ἑκάστης δ' εὐχερῶς καταγείσης,

„ὦ παῖδες, οὕτως“ εἶπεν, „ἂν μὲν ἀλλήλοις
ὁμοφρονῆτε πάντες, οὐδ᾽ ἂν εἷς ὑμᾶς
βλάψαι δύναιτο, κἂν μέγιστον ἰσχύῃ·
ἢν δ᾽ ἄλλος ἄλλου χωρὶς ἦτε τὴν γνώμην,
πείσεσθ᾽ ἕκαστος ταὐτὰ τῇ μιᾷ ῥάβδῳ.“
[φιλαδελφία μέγιστον ἀγαθὸν ἀνθρώποις,
ἣ καὶ ταπεινοὺς ὄντας ἦρεν εἰς ὕψος.]

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει ὅσον τὸ τῆς ὁμονοίας καλόν, καὶ τί πάλιν τὸ ἐπιζήμιον τοῖς μηδαμῶς ταύτην κεκτημένοις.

48 Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος εἱστήκει,
λίθων δ᾽ ὑπ᾽ αὐτῷ σωρὸς ἦν. κύων τούτῳ
εἶπεν προσελθών „χαῖρε πρῶτον, Ἑρμεία·
ἔπειτ᾽ ἀλεῖψαι βούλομαί σε, μηδ᾽ οὕτω
θεὸν παρελθεῖν, καὶ θεὸν παλαιστρίτην.“
ὁ δ᾽ εἶπεν „ἂν μὴ τοῦτό μοὐπιλιχμήσῃς
τοὔλαιον ἐλθών, μηδέ μοι προσουρήσῃς,
χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα.“

Ὅτι τοῖς κακοῖς ἀρκεῖ τέως, οὐκ ἄλλως πως δυναμένοις δρᾶσαι τὰ βελτίω, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσαι.

49 Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ᾽ ἀγνοίας
φρέατος ἐγγύς. τῆς τύχης δ᾽ ἐπιστάσης
ἔδοξ᾽ ἀκούειν „οὗτος, οὐκ ἐγερθήσῃ;
μή σου πεσόντος αἰτίη παρ᾽ ἀνθρώποις
ἐγὼ λέγωμαι καὶ κακὴν λάβω φήμην.
ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,
ὅσ᾽ ἂν παρ᾽ αὐτοῦ δυστυχῇ τις ἢ πταίῃ.“

Ἔλεγχος τῶν εἱμαρμένην δοξαζόντων καὶ ἀνάγκῃ τὰ τῆς ἡμῶν ἐξουσίας ὑποβαλλόντων καὶ μὴ τῷ αὐτεξουσίῳ εἰς δέον κεχρημένων.

50 Ἔφευγ᾽ ἀλώπηξ, τῆς δ᾽ ὄπισθε φευγούσης
κυνηγὸς ἐτρόχαζεν. ἡ δ᾽ ἐκεκμήκει,
δρυτόμον δ᾽ ἰδοῦσα „πρὸς θεῶν σε σωτήρων,
κρύψον με ταύταις αἷς ἔκοψας αἰγείροις,
καὶ τῷ κυνηγῷ“ φησί „μή με μηνύσῃς.“
ὁ δ᾽ οὐ προδώσειν ὤμνυ᾽· ἡ δ᾽ ἀπεκρύφθη.
ἦλθεν κυνηγός, καὶ τὸν ἄνδρ᾽ ἐπηρώτα
ἢ τῇδ᾽ ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.
„οὐκ εἶδον“ εἶπε, τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ᾽ οὗ πανοῦργος ἐκρύφθη.
ὁ δ᾽ οὐκ ἐπισχών, τῷ λόγῳ δὲ πιστεύσας,
παρῆλθε. θερμοῦ δ᾽ ἐκφυγοῦσα κινδύνου
κερδὼ παχείας ἐξέκυπτεν αἰγείρου,
σεσηρὸς αἰκάλλουσα. τῇ δ᾽ ὁ πρεσβύτης
„ζωαγρίους μοι χάριτας“ εἶπεν „ὀφλήσεις.
„ἐρρυσάμην σε“ φησίν· „ἀλλά μου μνήσκου.“
‚πῶς οὐκ ἄν, εἶπεν ‚ὧν γε μάρτυς εἱστήκειν;
ἔρρωσο τοίνυν, καὶ τὸν Ὅρκον οὐ φεύξῃ
φωνῇ με σώσας, δακτύλῳ δ᾽ ἀποκτείνας.‘
[σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ᾽ ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, δίκην φεύγει.]

Εὐκαίρως ὁ μῦθος ῥηθήσεται πρὸς ἐκείνους τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.

51 Ἔν τῷ ποτ᾽ οἴκῳ πρόβατον εἶχέ τις χήρα,
θέλουσα δ᾽ αὐτοῦ τὸν πόκον λαβεῖν μείζω
ἔκειρεν ἀτέχνως, τῆς τε σαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε „μή με λυμαίνου·
πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
ἀλλ᾽ εἰ κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·

εἰ δ' εἰρίων πόκου τε κοὐ κρεῶν χρήζεις,
πάρεστι κουρεύς, ὅς κερεῖ με καὶ σώσει."

Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμασιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοσοῦτον τὸ κέρδος ὅση βλάβη προσγίνεται.

52 *Εἰς ἄστυ τετράκυκλον ἄρρενες ταῦροι*
ἅμαξαν ὤμοις εἷλκον· ἡ δ' ἐτετρίγει.
καὶ τὸν βοώτην θυμὸς εἷλε, τῇ δ' οὕτως
ἐγγὺς προσελθὼν εἶπεν ὡς ἀκουσθῆναι.
„ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις
ἄλλων ἐπ' ὤμοις φερομένη σιωπώντων;"
[κακοῦ πρὸς ἀνδρός ἐστι μακρὸν οἰμώζειν
ἄλλων πονούντων, ὡσπερεὶ κάμνων αὐτός.]

Ὁ μῦθος τοῦτο λέγει, μηδαμῶς ἐν τοῖς πράγμασιν ἄλλων πονουμένων ἄλλους ἀδίκως οἰμώζειν καὶ πόνους ἀλλοτρίους ἑαυτοῖς ἐπιγράφειν.

53 *Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη*
ζωγρεῖν ἐδεῖτο, μηδὲ γραῦν ἀποκτείνειν.
ὁ δ' „ἂν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
ἐγώ σε νὴ τὸν Πᾶνα" φησί „ζωγρήσω."
ἡ δ' „εἴθε μέν μοι πρῶτα μὴ συνηντήκοις·
ἔπειτα δ' εἴθε τυφλὸς ὢν ὑπηντήκοις·
τρίτον δ' ἐπ' αὐτοῖς εἴθε μὴ σύγ' εἰς ὥρας
ἵκοιο, μηδὲ πάλιν ἐμοὶ συναντήσαις."

Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.

54 *Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων*
σκεψόμενος. ὁ θύτης δ' ἁγνὸν ἧπαρ ἁπλώσας

„ὅταν μέν“ εἶπε „τοῦτ᾽ ἴδω, πατὴρ γίγνῃ,
ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ᾽ ἀνὴρ φαίνῃ.“

Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους, ἢ καὶ ἄλλως μὴ δυναμένων γενέσθαι.

55 Ἕνα βοῦν τις εἶχε, τὴν ὄνον δὲ συζεύξας
ἠροτρία, πτωχῶς μέν, ἀλλ᾽ ἀναγκαίως.
ἐπεὶ δὲ τοὖργον ἐτετέλεστο καὶ λύειν
ἔμελλεν αὐτούς, εἶτ᾽ ὄνυς διηρώτα
τὸν βοῦν „τίς ἄξει τῷ γέροντι τὰ σκεύη;“
ὁ δὲ βοῦς πρὸς αὐτὴν εἶπεν „ὅσπερ εἰώθει.“

56 Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις
ὁ Ζεὺς ἔθηκε, πάντα δ᾽ ἔβλεπεν κρίνων.
ἦλθεν δὲ καὶ πίθηκος, ὡς καλὴ μήτηρ
πίθωνα γυμνὸν σιμὸν ἠρμένη κόλποις.
γέλως δ᾽ ἐπ᾽ αὐτῷ τοῖς θεοῖς ἐκινήθη.
ἡ δ᾽ εἶπεν οὕτω. „Ζεὺς μὲν οἶδε τὴν νίκην,
ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων.“
[ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν,
τά γ᾽ αὐτὸς αὐτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.]

57 Ἑρμῆς ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίας πάσης
ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι τῶν δώρων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἱ δ᾽ ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτὴν οὐδ᾽ ἀφῆκαν εἰς ἄλλους

ἔτι προελθεῖν, καίπερ ὄντας, ἀνθρώπους.
ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

58 Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ᾽ ἀνθρώπῳ.
ὁ δ᾽ ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων
τί ποτ᾽ ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ᾽ ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ᾽ ἔμεινεν ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

59 Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ᾽ Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῴων
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ᾽ αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις
κριτὴς ὁ μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων,
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε· τοῦ δέ γ᾽ ἀνθρώπου,
μὴ σχεῖν θυρωτὰ μηδ᾽ ἀνοικτὰ τὰ στήθη,
ὡς ἂν βλέποιτ᾽ ἐς τὸν πέλας τί βουλεύοι·
τῆς οἰκίας δέ, μὴ τροχοὺς σιδηρείους
ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους ἄλλους
συνεξαμείβειν δεσπόταισιν ἐκδήμοις.
τί οὖν ὁ μῦθός φησιν ἐν διηγήσει;

πειρῶ τι ποιεῖν, τὸν φθόνον δὲ μὴ κρίνειν.
ἀρεστὸν ἁπλῶς οὐδέν ἐστι τῷ μώμῳ.

60 Ζωμοῦ χύτρᾳ μῦς ἐμπεσὼν ἀπωμάστῳ
καὶ τῷ λίπει πνιγόμενος ἐκπνέων τ' ἤδη
„βέβρωκα“ φησί „καὶ πέπωκα καὶ πάσης
τρυφῆς πέπλησμαι· καιρός ἐστί μοι θνήσκειν.“
[τότ' ἂν λίχνος γένοιο μῦς ἐν ἀνθρώποις,
ἂν τὸ καταβλάπτον ἡδὺ μὴ παραιτήσῃ.]

Ὅτι τὰ ἐπερχόμενα κατὰ ἀνάγκην κακὰ εἰώθασί τινες τοιούτοις ἐξομαλίζειν λόγοις.

61 Ἤιει κυνηγὸς ἐξ ὄρους κυνηγήσας,
ᾔει δὲ γριπεὺς κύρτον ἰχθύων πλήσας.
καί πως συνηβόλησαν οἱ δύ' ἀλλήλοις,
χὠ μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
θήραν δ' ὁ γριπεὺς ᾑρέτιξεν ἀγρείην,
τά τ' εἶχον ἀντέδωκαν. εἶτα τὴν θήρην
ἤμειβον ἀεί, δεῖπνα δ' εἶχον ἡδίω,
ἕως τις αὐτοῖς εἶπεν „ἀλλὰ καὶ τούτων
τὸ χρηστὸν ἐξολεῖτε τῇ συνηθείᾳ,
πάλιν δ' ἕκαστος ἃ πρὶν εἶχε ζητήσει.“

Ὅτι πᾶς δυσάρεστος, τοῦ παρόντος ἡδέος μικρόν τι ἀπολαύσας, εὐθὺς τὴν ἐπιθυμίαν ἐφ' ἕτερον τρέπει.

62 Ἡμίονος ἀργὸς χιλὸν ἐσθίων φάτνης
καὶ κριθιάσας ἐτρόχαζε κἀφώνει,
τένοντα σείων, „ἵππος ἐστί μοι μήτηρ,
ἐγὼ δ' ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων.“
ἄφνω δ' ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς εὐημερίαις, μάλιστα δὲ τοὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην δοξασθέντας.

63 Ἦν τις κατ' οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος, ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ' ἀεί „χαῖρε, φίλταθ' ἡρώων,
καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει."
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
„ἀγαθὸν μέν" εἶπεν „οὐδ' ἂν εἷς τις ἡρώων
ὦ τᾶν παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
κακῶν δὲ πάντων, ἅ γε σύνεστιν ἀνθρώποις,
δοτῆρες ἡμεῖς. τοιγὰρ εἰ κακῶν χρῄζεις,
εὔχου· παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
πρὸς ταῦτα λοιπὸν αὐτὸς οἶδας εἰ θύσεις."

Ὅτι τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέξουσιν. εἰ δὲ κακά τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.

64 Ἤριζον ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
ἐλάτης δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
„καλὴ μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης,
καὶ τῶν νεφῶν σύνοικος ὀρθίη φύω,
στέγη τε μελάθρων εἰμὶ καὶ τρόπις πλοίων,
δένδρων τοσούτων ἐκπρεπεστάτη πάντων",
βάτος πρὸς αὐτὴν εἶπεν „ἢν λάβῃς μνήμην
τῶν πελέκεών τε τῶν ἀεί σε κοπτόντων,
τῶν πριόνων τε τῶν ἀεί σε τεμνόντων,
βάτος γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ."
ἅπας ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
καὶ δόξαν ἔσχε χὐπέμεινε κινδύνους.

Ὁ μῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας καὶ διὰ τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας βιοῦντες κἀντεῦθεν τῶν μεγάλων ἐκφεύγουσι κινδύνων.

65 Ἤριζε τεφρὴ γέρανος εὐφυεῖ ταῷ
σείοντι χρυσᾶς πτέρυγας. „ἀλλ᾽ ἐγὼ ταύταις“
ἡ γέρανος εἶπεν, „ὧν σὺ τὴν χρόην σκώπτεις,
ἄστρων σύνεγγυς ἵπταμαί τε καὶ κράζω·
σὺ δ᾽ ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
χαμαὶ πτερύσσῃ“ φησίν, „οὐδ᾽ ἄνω φαίνῃ.“
θαυμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην
ἢ ζῆν ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.

66 Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσασθαί φασι δεσπότην ζῴων
ἄνθρωπον ἐκ γῆς, ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι τένοντός φασι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δὲ τὴν ὄπισθεν, ἥτις ἦν μείζων.
διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων
βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.

67 Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν.
ἀλκῇ μὲν ὁ λέων, ὁ δ᾽ ὄνος ἦν ποσὶν κρείσσων.
ἐπεὶ δὲ λείαν εἶχον ἄφθονον ζῴων,
ὁ λέων μερίζει, καὶ τίθησι τρεῖς μοίρας,
καὶ „τὴν μὲν αὐτός“ φησί „λήψομαι πρῶτος·
βασιλεὺς γάρ εἰμι· λήψομαι δὲ κἀκείνην
ὡς ἐξ ἴσου κοινωνός. ἡ τρίτη δ᾽ αὕτη
κακόν τι δώσει μὴ θέλοντί σοι φεύγειν.“
μέτρει σεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ
δυνατωτέρῳ σύναπτε μηδὲ κοινώνει.

68 Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων·
„οὐκ ἂν βάλοι τις πλεῖον, οὐδὲ τοξεύσει.“
ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ.

Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους.
λαχὼν δ' ὁ Φοῖβος, χρυσέην τε κυκλώσας
τόξοιο νευρήν, ὀξέως ἀφεὶς πρῶτος
τὸ βέλος ἔπηξεν ἐντὸς ἑσπέρου κήπου.
ὁ Ζεὺς δὲ διαβὰς ταὐτὸ μέτρον εἱστήκει,
καί „ποῦ βάλω, παῖ," φησίν „οὐκ ἔχω χώραν."
τόξου δὲ νίκην ἔλαβε μηδὲ τοξεύσας.

Ὅτι ἔστι τινὰ καὶ κόπου χωρὶς νίκην ἄρασθαι, σοφῶς τοῖς πράγμασι κεχρημένον.

69 Θάμνου λαγωὸν δασύποδ' ἐξαναστήσας
κύων ἐδίωκεν οὐκ ἄπειρος ἀγρεύειν,
δρόμῳ δ' ἐλείφθη. καί τις αἰπόλος σκώπτων
„ὁ πηλίκος σου" φησίν „εὑρέθη θάσσων."
ὁ δ' εἶπεν „ἄλλως ἄλλον ἁρπάσαι σπεύδων
τρέχει τις, ἄλλως δ' αὑτὸν ἐκ κακοῦ σῴζων."

70 Θεῶν γαμούντων, ὡς ἕκαστος ἐζεύχθη,
ἐφ' ἅπασι Πόλεμος ἐσχάτῳ παρῆν κλήρῳ.
Ὕβριν δὲ γήμας, ἣν ἄρ' ὕστατ' εἰλήφει,
ταύτης περισσῶς, ὡς λέγουσιν, ἠράσθη,
ἕπεται δὲ ταύτῃ πανταχοῦ βαδιζούσῃ.
μήτ' οὖν ἔθνη που, μὴ πόλεις τὰς ἀνθρώπων
ὕβρις ἐπέλθοι, προσγελῶσα τοῖς δήμοις,
ἐπεὶ μετ' αὐτὴν πόλεμος εὐθέως ἥξει.

71 Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρῴρης,
„ὦ πέλαγος" εἶπεν, „εἴθε μήποτ' ἐπλεύσθης,
ἀνηλεὲς στοιχεῖον ἐχθρὸν ἀνθρώποις."
ἤκουσε δ' ἡ θάλασσα, καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε „μή με βλασφήμει·

ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
ἄνεμοι δέ, πάντων ὧν ἐγὼ μέση κεῖμαι.
τούτων δὲ χωρὶς ἂν ἴδῃς με καὶ πλεύσῃς,
ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης."
[ὅτι πολλὰ χρηστὰ πράγμαθ' αἱ κακαὶ χρήσεις
τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.]

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους οἵτινες διαβολαῖς πρὸς τοὺς δυνάστας βλάπτειν πεφύκασι τοὺς πέλας, οἳ παραπλήσιοί εἰσιν ἀνέμοις χειμερίοις.

72 Ἶρίς ποτ' οὐρανοῖο πορφυρῆ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ' εὐθὺς ἠκούσθη,
καὶ πάντα θείων ἔσχεν ἵμερον δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,
καὶ θερινὸν ὕδωρ καὶ διαυγὲς εἱστήκει·
πάντων τ' ἐπ' αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόσωπα δ' αὑτῶν ἐξέλουε καὶ κνήμας,
ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην
γέρων, κορώνης υἱός, ἄλλο δ' ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων
μόνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
καὶ πρὸς θεοὺς ἤιξεν αἰετοῦ κρείσσων.
ὁ Ζεὺς δ' ἐθάμβει, καὶ παρεῖχε τὴν νίκην,
εἰ μὴ χελιδὼν αὐτόν, ὡς Ἀθηναία,
ἤλεγξεν ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὁ δ' εἶπεν αὐτῇ „μή με συκοφαντήσῃς."
τὸν δ' ἆρα τρυγὼν ἐσπάραττε καὶ κίχλα
καὶ κίσσα καὶ κορυδαλὸς οὑν τάφοις σπίζων,
χὠ νηπίων δὲ φηλὸς ὀρνέων ἴρηξ,
τά τ' ἄλλ' ὁμοίως. καὶ κολοιὸς ἐγνώσθη.

[ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ τούτων.]

Ὅτι οἱ νόθον καὶ ἐπείσακτον αὐτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.

73 Ἴκτινος ἄλλην εἶχεν ὀξέην κλάγγα·
ἵππου δ' ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον οὔτε τὴν κρείσσω
φωνὴν θελήσας ἔσχεν οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσι.

74 Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
ξενίας δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ
μερίσαντες αὐτῷ τῶν ἐθῶν ἀφ' ὧν ἔζων,
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φίλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων.
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους·
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας,
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ, καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνθρώπων ἐκείνων τῶν μηδεμίαν τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνον δὲ τοὺς οἰκείους τὴν στοργὴν περιιστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

75 Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀρρώστῳ
πάντων λεγόντων „μὴ δέδιθι, σωθήσῃ·
πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἔσῃ ῥάων,“
ὧδ' ἀτεχνὴς ἰατρὸς εἶπεν εἰσβαίνων·
„ἕτοιμα δεῖ σε πάντ' ἔχειν· ἀποθνήσκεις.
οὐκ ἐξαπατῶ σε“ φησίν „οὐδ' ἐνεδρεύω·
τὴν αὔριον γὰρ τό γ' ἄκρον οὐχ ὑπερβήσῃ.“
ταῦτ' εἶπε, καὶ τὸ λοιπὸν οὐκέτ' εἰσῄει.
χρόνῳ δ' ἐκεῖνος ἐκ νόσων ἀνασφήλας
προῆλθεν ὠχρός, τοῖς ποσὶν μόλις βαίνων.
ὁ δ' ἰατρὸς αὐτῷ „χαῖρ'“ ἔφη συναντήσας,
καὶ πῶς ἔχουσιν οἱ κάτω διηρώτα.
κἀκεῖνος εἶπεν „ἠρεμοῦσι τῆς Λήθης
πιόντες. ἡ Κόρη δὲ χὡ μέγας Πλούτων
πρῴην ἰατροῖς δεινὰ πᾶσιν ἠπείλουν
ἐπὶ τῷ θεραπεύειν τοὺς νοσοῦντας ἀνθρώπους,
ἀνέγραφον δὲ πάντας, ἐν δὲ τοῖς πρώτοις
καὶ σὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείσας
εὐθὺς προσῆλθον, ἡψάμην τε τῶν σκήπτρων,
κἀπώμοσ' αὐτοῖς ὅτι σὺ ταῖς ἀληθείαις
ἰατρὸς οὐκ εἶ καὶ μάτην διεβλήθης.“

Ὁ μῦθος οὗτος ῥηθήσεται πρὸς τοὺς κενὸν ὄνομα ἐπὶ πράγματί τινι κεκτημένους, τὴν δὲ τούτου πεῖραν παντελῶς οὐκ ἔχοντας.

76 Ἱππεὺς τὸν ἵππον, ἄχρι μὲν συνειστήκει
ὁ πόλεμος, ἐκρίθιζε κἄτρεφεν χόρτῳ,
παραστάτην γενναῖον ἐν μάχαις κρίνων·
ἐπεὶ δ' ἐπαύσατ', ἦν δὲ λοιπὸν εἰρήνη
καὶ μισθὸν ἱππεὺς οὐκέτ' εἶχεν ἐκ δήμου,
τότ' ἐκεῖνος ἵππος πολλάκις μὲν ἐξ ὕλης
κορμοὺς παχεῖς κατῆγεν εἰς πόλιν βαίνων,

μισθῷ τε φόρτον ἔφερεν ἄλλοτ᾽ ἀλλοῖον,
τὸ πνεῦμα σῴζων ἐπ᾽ ἀχύροισι δυστήνοις,
σάγην δὲ νώτοις ἔφερεν οὐκέθ᾽ ἱππείην.
ὡς δ᾽ αὖ πρὸ τειχῶν πόλεμος ἄλλος ἠκούσθη,
σάλπιγξ τ᾽ ἐκέλευε πᾶσιν ἀσπίδα σμήχειν·
ἵππους τε κοσμεῖν καὶ σίδηρον ὀξύνειν,
κἀκεῖνος αὖ τὸν ἵππον ἐγχαλινώσας
ὁ δεσπότης παρῆγεν ὡς ἐφιππεύσων.
ὁ δ᾽ ὀκλάσας ἔπιπτεν οὐκέτ᾽ ἰσχύων.
„ἔντασσε πεζοῖς σαυτόν“ εἶπεν „ὁπλίταις
σὺ γάρ μ᾽ ἀφ᾽ ἵππων εἰς ὄνους μεταστήσας
πῶς αὖθις ἵππον ἐξ ὄνου με ποιήσεις;“

Μηδαμῶς τοῦ παρόντος δεῖν ἐπιμελεῖσθαι μόνον ὁ μῦθος διδάσκει, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοεῖσθαι· τὸ γὰρ μὴ οὕτω γινόμενον πολλοῖς πολλάκις οὐ τὴν τυχοῦσαν ἤγαγε βλάβην.

77 *Κόραξ δεδηχὼς στόματι τυρὸν εἱστήκει·*
τυροῦ δ᾽ ἀλώπηξ ἰχανῶσα κερδῴη
μύθῳ τὸν ὄρνιν ἠπάτησε τοιούτῳ.
„κόραξ, καλαί σοι πτέρυγες, ὀξέη γλήνη,
θηητὸς αὐχήν· στέρνον αἰετοῦ φαίνεις,
ὄνυξι πάντων θηρίων κατισχύεις.
ὁ τοῖος ὄρνις κωφός ἐσσι κοὐ κρώζεις.“
κόραξ δ᾽ ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν δ᾽ ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσσῃ
„οὐκ ἦσθ᾽ ἄφωνος“ εἶπεν „ἀλλὰ φωνήεις.
ἔχεις, κόραξ, ἅπαντα, νοῦς δέ σοι λείπει.“

Ὁ μῦθος διδάσκει μηδαμῶς ἄνθρωπον ἐπαίνοις ἐξαπατᾶσθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθασι γίνεσθαι.

78 *Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούσῃ*

„μὴ κλαῖε, μῆτερ, ἀλλὰ τοῖς θεοῖς εὔχου
νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι."
„καὶ τίς σε" φησί „τῶν θεῶν, τέκνον, σώσει;
τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;"

Ὅτι τοῖς ἀμεταμέλητα φησὶν εἰς θεὸν πλημμελοῦσιν ἀνωφελεῖς γίγνονται αἱ ὑπὲρ αὐτῶν δεήσεις.

79 Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου,
καὶ δὴ παρήει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
τὸ κρέας ἀφῆκε, τῇ σκιῇ δ' ἐφωρμήθη.
ἀλλ' οὔτ' ἐκείνην εὗρεν οὔθ' ὃ βεβλήκει,
πεινῶσα δ' ὀπίσω τὸν πόρον διεξῄει.
[βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ἐλπίσι ματαίαις πραγμάτων ἀναλοῦται.]

80 Κάμηλον ἠνάγκαζε δεσπότης πίνων
ὀρχεῖσθ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.
ἡ δ' εἶπ' „ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
ἄνευ γέλωτος, μή τι κἂν χορῷ παίζειν."

Ἀντίρρησιν ὁ λόγος ἔχει παρὰ τῶν σωφρόνως ζῆν αἱρουμένων πρὸς τοὺς ἐν βίῳ κενὰ ἐπινοουμένους.

81 Κερδοῖ πίθηκος φησίν „ἣν ὁρᾷς στήλην,
ἐμοὶ πατρῴη τ' ἐστὶ κἄτι παππῴη."
κερδὼ πιθήκῳ φησίν „ὡς θέλεις ψεύδου,
ἔλεγχον οὐκ ἔχουσα τῆς ἀληθείας."
[κακοῦ πρὸς ἀνδρός ἐστι μὴ φεύγειν ψεῦδος,
κἂν λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.]

Οὕτως οἱ λίαν ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅτε τοὺς ἐλέγχους κατ' ὄψιν οὐκ ἔχουσι.

82 *Κοιμωμένου λέοντος ἀγρίης χαίτης*
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη,
φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων τυραννεύων.
ὁ δ' „οὐχὶ τὸν μῦν“ εἶπεν, „ὦ παλαμναίη,
δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.“
[ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε, μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.]

Ὁ λόγος διδάσκει ὅτι οὐδὲ ὑπὸ τῶν μετρίων δεῖ ἡμᾶς καταφρονεῖσθαι, διὰ τὸ μὴ ἐντεῦθεν συνήθειαν κακὴν γεννηθῆναι.

83 *Κριθάς τις ἵππου . . . .*
. . . . πᾶσαν ἡμέραν πίνων,
ἔτριβεν ἐκτένιζεν ἡμέρῃ πάσῃ.
ὁ δ' εἶπεν „εἰ θέλεις με ταῖς ἀληθείαις
καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει.“
τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν
καὶ συμφερόντων· κόσμος οὐδὲν ὠνήσει
** * τὸν ἀποροῦντα τῶν ἀναγκαίων.*

Ὁ παρὼν ῥηθήσεται λόγος πρὸς τοὺς ἀντὶ ἀναγκαίων πραγμάτων τοῖς λόγοις μόνοις τοὺς πέλας ἐξαπατῶντας.

84 *Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου*
μικρόν τ' ἐπισχὼν εἶπε ταῦτα βομβήσας.
„εἰ σοῦ βαρύνω τὸν τένοντα καὶ κλίνω,
καθεδοῦμ' ἀπελθὼν ποταμίας ἐπ' αἰγείρου.“
ὁ δ' „οὐ μέλει μοι“ φησίν „οὔτ' ἐὰν μείνῃς
οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.“

[γελοῖος ὅστις οὐδὲν ὢν κατ' ἀνθρώπων
τῶν κρειττόνων θρασύνεθ' ὥς τις ὢν σφόδρα.]

Κατηγορίαν ὁ λόγος περιέχει ἀνδρὸς εὐτελοῦς καὶ λίαν ἀνδυνάτου, ὑπολήψεις δὲ μεγάλας περὶ ἑαυτοῦ κεκτημένου.

85 Κυσίν ποτ' ἔχθρα καὶ λύκοις συνειστήκει.
κύων δ' Ἀχαιὸς ἡρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. οἱ δ' ἐπηπείλουν,
εἰ μὴ προάξει, τὴν μάχην δ' ἐνεδρεύσει.
„ἀκούσατ'“ εἶπεν „οὗ χάριν διατρίβω,
τί δ' εὐλαβοῦμαι· χρὴ δ' ἀεὶ προβουλεύειν.
τῶν μὲν πολεμίων τὸ γένος ὧν ὁρῶ πάντων
ἕν ἐστιν· ἡμῶν δ' ἦλθον οἱ μὲν ἐκ Κρήτης,
οἱ δ' ἐκ Μολοσσῶν, εἰσὶν οἳ δ' Ἀκαρνάνων,
ἄλλοι δὲ Δόλοπες, οἱ δὲ Κύπρον ἢ Θρᾴκην
αὐχοῦσιν, ἄλλοι δ' ἄλλοθεν. τί μηκύνω;
τὸ χρῶμα δ' ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις,
ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι στήθη,
ἄλλοι δὲ λευκοί. πῶς ἂν οὖν δυνηθείην
εἰς πόλεμον ἄρχειν“ εἶπε „τῶν ἀσυμφώνων
πρὸς τοὺς ὅμοια πάντ' ἔχοντας ἀλλήλοις;“
[συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.]

86 Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη·
ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.
ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην
ἐξέφαγε· γαστὴρ δ', ὥσπερ εἰκός, ὠγκώθη,
στενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.

ἑτέρα δ' ἀλώπηξ ὡς ἐπῆλθε κλαιούσῃ,
σκώπτουσα „μεῖνον" εἶπεν „ἄχρι πεινήσῃς·
οὐδ' ἐξελεύσῃ πρότερον ἄχρι τοιαύτην
τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ' εἰσῄεις."

Ὁ μῦθος παραινεῖ μηδαμῶς σπεύδειν τινὰ πρὸς πλεονεξίαν τοῦ πέλας, γινώσκων ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

87 *Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας*
ἐδίωκε δάκνων αὐτὸν εἰ κατειλήφει,
μεταστραφεὶς δ' ἔσαινεν ὡς φίλῳ ψαύων.
ὁ λαγωός „ἁπλοῦν" δ' εἶπε „θηρίον γίγνου.
φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν σαίνεις;"
[ἀμφίβολος οὗτός ἐστι νοῦς ἐν ἀνθρώποις,
οἷς οὔτ' ἀπιστεῖν ἔχομεν οὔτε πιστεύειν.]

88 *Κορυδαλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων,*
ὁ τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων,
καὶ παῖδας εἶχε ληίου κόμῃ θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε „νῦν ὥρη
πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν' ἀμήσω."
καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
ὁ δ' εἶπεν „οὔπω καιρός ἐστι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν, οὐκ ἄγαν σπεύδει."
ὡς δ' αὖτις ἦλθεν, ἡλίου δ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας
μισθὸν μὲν ἀμητῆρσιν αὔριον δώσειν,
μισθὸν δέ φησι δραγματηφόροις δώσειν,

εἶπεν κορυδαλὸς παισὶ νηπίοις „ὥρη
νῦν ἐστὶν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν,
ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοισι πιστεύει.“

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐπιμελεῖσθαι τῶν οἰκείων, ὅση δύναμις, καὶ μὴ καταφρονεῖν, θαρροῦντας ταῖς τῶν φίλων συνδρομαῖς.

89 Λύκος ποτ' ἄρνα πεπλανημένον ποίμνης
ἰδὼν βίᾳ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,
ἔγκλημα δ' ἔχθρας εὐπρόσωπον ἐζήτει.
„οὐ σύ μέ τι πέρυσι μικρὸς ὢν ἐβλασφήμεις;“
„ἐγὼ οὐ περυσινός, ὅς γ' ἐπ' ἔτος ἐγεννήθην.“
„οὐκοῦν σὺ τὴν ἄρουραν ἣν ἔχω κείρεις;“
„οὔπω τι χλωρὸν ἔφαγον, οὐδ' ἐβοσκήθην.“
„οὐδ' ἄρα πηγὴν ἐκπέπωκας ἣν πίνω;“
„θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴη.“
τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων
„ἀλλ' οὐκ ἄδειπνον“ εἶπε „τὸν λύκον θήσεις,
κἂν εὐχερῶς μου πᾶσαν αἰτίην λύσῃς.“

Ὅτι τοὺς φύσει πονηροὺς καὶ ἀδίκους οὐδ' εὔλογος ἀπολογία πείθει.

90 Λέων ἐλύσσα. τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν „ἡμέων ταλαιπώρων·
τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν.“

Πρὸς ἄνδρα φύσει ὀργίλον καὶ αἱμοβόρον ἐξουσίαν ἀρχῆς κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

91 Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας

τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.
ὁ δ' εἶπεν „οὐ σέ, τὸν λέοντα δ' ἐκκλίνω.
ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
πόσον τράγου μεταξὺ καὶ πόσον ταύρου."

Πρὸς τοὺς τοῖς δυνατωτέροις ἐπεμβαίνοντας δι' ἐπικειμένην αὐτοῖς συμφοράν.

92 Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης
„ὢ πρός σε νυμφῶν" εἶπεν, „ἆρα γινώσκεις
ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει;"
κἀκεῖνος εἶπεν „ἀλλὰ σὺν θεῷ βαίνεις·
αὐτὸν γὰρ ἤδη τὸν λέοντά σοι δείξω."
ὁ δ' ὠχριήσας γομφίους τε συγκρούων
„μή μοι χαρίζου" φησί „πλεῖον οὗ χρῄζω,
τὸ δ' ἴχνος εἰπέ· τὸν λέοντα μὴ δείξῃς."

Ὁ μῦθος ἐλέγχει τοὺς λόγοις μὲν ἀνδρείους ἐπιδεικνυμένους, ἔργοις δὲ ἀνικάνους ἀποφαινομένους.

93 Λύκων παρῆσαν ἄγγελοί ποτ' εἰς ποίμνην
ὅρκους φέροντες καὶ βέβαιον εἰρήνην,
ἐφ' ᾧ λάβωσι τοὺς κύνας πρὸς αἰκίην,
δι' οὓς μάχονται καὶ κοτοῦσιν ἀλλήλοις.
μωρὰ δὲ ποίμνη καὶ τὰ πάντα βληχώδης
πέμπειν ἔμελλεν. ἀλλά τις γέρων ἤδη
κριὸς βαθείῃ φρικὶ μαλλὸν ὀρθώσας
„καινῆς γε ταύτης" εἶπε „τῆς μεσιτείης.
ἀφύλακτος ὑμῖν πῶς ἐγὼ συνοικήσω,

δι' οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως
ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων;"

Οὐδαμῶς ἀκαταλλάκτοις ἐχθροῖς πιστεύειν δεῖ, ὅταν σε τῆς οἰκείας βούλωνται ἀμελεῖν σωτηρίας, κἂν ὅρκοις τυχὸν τὴν εἰρήνην λαλῶσι.

94 Λύκῳ ποτ' ὀστοῦν φάρυγος ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔταξε, τὸν τράχηλον εἰ καθιμήσας
ἀνελκύσειε καὶ πόνων ἄκος δοίη.
ὁ δ' ἑλκύσας τὸν μισθὸν εὐθέως ᾔτει.
κἀκεῖνος αὐτῷ, κάρχαρόν τι μειδήσας,
„σοὶ μισθὸς ἀρκεῖ" φησί „τῆς ἰατρείης
κεφαλὴν λυκείου φάρυγος ἐξελεῖν σῴην."
[κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ,
ἀλλ' ἀρκέσει σοι μή τι τῶν κακῶν πάσχειν.]

95 Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἐφαπλώσας,
φίλην δ' ἀλώπεκ' εἶχεν ᾗ προσωμίλει.
ταύτῃ ποτ' εἶπεν „εἰ θέλεις με σὺ ζῴειν·
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ' ἀγρίαις πεύκαις
κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης,
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ' ἰσχύω·
σὺ δ' ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις."
ἀπῆλθε κερδώ, τὴν δ' ὑπ' ἀγρίαις ὕλαις
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης.
ἔσκυσσε δ' αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε, χρηστῶν τ' ἄγγελος λόγων ἥκειν.
„ὁ λέων" ἔφασκεν, „οἶδας, ἔστι μοι γείτων,
ἔχει δὲ φαύλως, κἀγγύς ἐστι τοῦ θνήσκειν.

τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει,
διεσκοπεῖτο. σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει·
γαύρη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζώει,
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων.
τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθης,
μέλλεις τ' ἀνάσσειν θηρίων ὀρειφοίτων.
τότ' οὖν γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
ταῦτ' ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη. σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλιν με ζητήσῃ·
χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις.
δοκῶ δὲ καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις. ἔπρεπέ σοι παρεδρεύειν
ἐλθοῦσαν αὐτῷ καὶ πονοῦντα θαρσύνειν.
τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δ' ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων.“
ὣς εἶπε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν, ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρός, καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὖατ' ἐσπάραξεν ἀκραίοις,
σπουδῇ διωχθείς· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναξε τὸ στόμα βρύχων
(ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη),
πάλιν δὲ κερδοῦν ἱκέτευε φωνήσας

ἄλλον τιν᾽ εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ᾽ εἶπε κινήσασα βυσσόθεν γνώμην
„χαλεπὸν κελεύεις, αὖθις ἀλλ᾽ ὑπουργήσω.“
καὶ δὴ κατ᾽ ἴχνος ὡς σοφὴ κύων ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας,
ἀεὶ δ᾽ ἕκαστον ποιμένων ἐπηρώτα
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει.
τὴν δ᾽ ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ᾽ εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ᾽ ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολῇ δ᾽ ἐπέζει καρδίην, ἔφη δ᾽ οὕτω·
„σὺ νῦν διώκεις πανταχοῦ μ᾽ ὅποι φεύγω.
ἀλλ᾽ ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
ἤν μοι προσέλθῃς καί τι γρύξαι τολμήσῃς.
ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις,
ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει.“
τῆς δ᾽ οὐκ ἐτράφθη θυμός, ἀλλ᾽ ὑποβλήδην
„οὕτως ἀγεννής“ φησί „καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
ὁ μὲν λέων σοι συμφέροντα βουλεύων
μέλλων τ᾽ ἐγείρειν τῆς πάροιθε νωθείης
ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις·
σὺ δ᾽ οὐχ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
βίῃ δ᾽ ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
λίην ἄπιστον πειράσας σε καὶ κούφην,
βασιλῆ δέ φησι τὸν λύκον καταστήσειν.
οἴμοι πονηροῦ δεσπότου. τί ποιήσω;

ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ.
ἀλλ' ἐλθέ, καὶ τὸ λοιπὸν ἴσθι γενναία,
μηδ' ἐπτόησο, πρόβατον οἷον ἐκ ποίμνης.
ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
οὕτω γένοιτο σοὶ μόνῃ με δουλεύειν,
ὡς οὐδὲν ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης
τίθησι πάντων κυρίαν σε τῶν ζῴων."
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα παντοίην,
ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης, καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως,
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει.
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας,
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει,
καὶ πᾶσαν εὐνὴν πάντα δ' οἶκον ἠρεύνα.
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης
„οὐκ εἶχε πάντως" φησί· „μὴ μάτην ζήτει.
ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;"

Ὅτι τοὺς τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰκότως ἄφυκτα κακὰ διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλοδόξων.

96 Λύκος παρῄει τριγχόν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε, τὰς σιαγόνας πρίων,
„ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ."

[ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει,
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.]

Κατάλληλος ὁ μῦθος τοῖς διὰ περίστασιν καὶ τόπον κατὰ τύχην τῶν δυνατωτέρων κατεπαιρομένοις.

97 Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ,
καὶ προσποιηθεὶς μητρὶ τῇ θεῶν θύειν,
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους
ὡς εἶδε θερμοῦ πολλὰ χαλκία πλήρη,
σφαγίδας, μαχαίρας βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρᾳ δὲ μηδέν, ἀλλὰ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας.
ὁ δ' „ἦλθον" εἶπε, „καὶ τὸ σύμβολον δώσω·
οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ."

Ὁ μῦθος ἡμᾶς ὑπομιμνήσκει, τὸ ἐπιὸν πάντως δεινὸν προορῶντας, μηδαμῶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας.

98 Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίης
παρὰ πατρὸς ἐμνήστευε. τῷ δ' ὁ πρεσβύτης
οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας
„δίδωμι γῆμαι" φησί, „καὶ διδοὺς χαίρω·
τίς οὐ δυνάστῃ καὶ λέοντι κηδεύσει;
φρένες δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
σὺ δ' ἡλίκους μὲν ὄνυχας, ἡλίκους δ' ἡμῖν
φέρεις ὀδόντας, τίς κόρη σε τολμήσει
ἀφόβως περιλαβεῖν; τίς δ' ἰδοῦσα μὴ κλαύσῃ;
πρὸς ταῦτα δὴ σκόπησον εἰ γάμου χρῄζεις,
μηδ' ἄγριος θὴρ ἀλλὰ νυμφίος γίγνου."
ὁ δὲ πτερωθεὶς τῇ δόσει τε πιστεύσας

ἐξεῖλε τοὺς ὀδόντας, εἶθ᾽ ὑπὸ σμίλης
ἀπωνυχίσθη, τῷ τε πενθερῷ δείξας
τὴν παῖδ᾽ ἀπῄτει. τὸν δ᾽ ἕκαστος ἠλοία,
ῥοπάλῳ τις ἢ λίθῳ τις ἐκ χερὸς παίων.
ἔκειτο δ᾽ ἀργὸς ὥσπερ ὗς ἀποθνήσκων,
γέροντος ἀνδρὸς ποικίλου τε τὴν γνώμην
σοφίῃ διδαχθεὶς ὡς ἄμικτον ἀνθρώπους
ἐρᾶν λεόντων ἢ λέοντας ἀνθρώπων.
[αὐτός τις αὐτὸν λανθάνει κακῶς δράσας,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν σπεύδῃ.]

99 Λύκῳ συνήντα πιμελὴς κύων λίην.
ὁ δ᾽ αὐτὸν ἐξήταξε, ποῦ τραφεὶς οὕτω
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
„ἄνθρωπος“ εἶπε „δαψιλής με σιτεύει.“
„ὁ δέ σοι τράχηλος“ εἶπε „πῶς ἐλευκώθη;“
„κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας.“
λύκος δ᾽ ἐπ᾽ αὐτῷ καγχάσας „ἐγὼ τοίνυν
χαίρειν κελεύω“ φησί „τῇ τροφῇ ταύτῃ,
δι᾽ ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει.“

Ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον τὸν μικρᾶς ἡδονῆς χάριν δουλοπρεπῶς ζωὴν φευκτέον ὁ μῦθος παραινεῖ.

100 Λέοντι προσπτὰς αἰετῶν τις ἐξήτει
κοινωνὸς εἶναι. χὠ λέων „τί κωλύει;“
πρὸς αὐτὸν εἶπεν. „ἀλλ᾽ ἐνέχυρον ἢ δώσεις
τὠκύπτερόν σου μὴ μεθεῖναι τὴν πίστιν;
πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;“

Ὁ μῦθος ἐκδιδάσκει μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

101 *Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,*
λέοντα δ' αὐτὸν ἐπεκάλουν· ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα „μὴ φρενωθείην“
ἔφη „τοσοῦτον ὡς σὺ νῦν ἐτυφώθης·
σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίγνῃ.“

Πρὸς τοὺς ἀπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινομένους κἀντεῦθεν μέγα φρονοῦντας, ἔπειτα δὲ ἐλεγχομένους ἑαυτοὺς ἐπιγινώσκειν.

102 *Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης*
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων,
πρᾷος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.
ἐπὶ τῆς ἐκείνου φασὶ δὴ δυναστείας
τῶν ἀγρίων ἀγυρμὸς ἐγεγόνει ζῴων,
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πάντα δ' ὡς ὑπέσχον εὐθύνας,
λύκος μὲν ἀρνί, πάρδαλις δέ γ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην,
ὁ πτὼξ λαγωὸς εἶπεν „ἀλλ' ἐγὼ ταύτην
τὴν ἡμέραν ἀεί ποτ' ηὐχόμην, ἥτις
καὶ τοῖς βιαίοις φοβερὰ τἀσθενῆ θήσει.“

Ἔπαινον ὁ μῦθος ἔχει κριτῇ πρᾴῳ καὶ λίαν δικαίῳ.

103 *Λέων ἐπ' ἄγρην οὐκέτι σθένων βαίνειν*
(πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει)
κοίλης ἔσω σπήλυγγος ὡς νόσῳ κάμνων
ἔκειτο, δόλιον οὐκ ἀληθὲς ἀσθμαίνων,
φωνὴν βαρεῖαν προσποιητὰ λεπτύνων.
θηρῶν δ' ἐπ' αὐλὰς ἦλθεν ἄγγελος φήμη,

καὶ πάντες ἦλγουν ὡς λέοντος ἀρρώστου,
ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσῄει.
τούτους ἐφεξῆς λαμβάνων ἀμοχθήτως
κατήσθιεν, γῆρας δὲ λιπαρὸν ηὑρήκει.
σοφὴ δ' ἀλώπηξ ὑπενόησε, καὶ πόρρω
σταθεῖσα „βασιλεῦ, πῶς ἔχεις;" ἐπηρώτα.
κἀκεῖνος εἶπε „χαῖρε, φιλτάτη ζῴων.
τί δ' οὐ προσέρχῃ, μακρόθεν δέ με σκέπτῃ;
δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις
παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης."
„σῴοιο" φησίν· „εἰ δ' ἄπειμι, συγγνώσῃ·
πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
ὧν ἐξιόντων οὐκ ἔχεις ὅ μοι δείξεις."
[μακάριος ὅστις οὐ προλαμβάνει πταίσας,
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.]

Οὕτω τινῶν οἱ κίνδυνοι διδαχὴ εἶναι ὀφείλει τῆς ἡμῶν σωτηρίας.

104 *Λάθρῃ κύων ἔδακνε· τῷ δὲ χαλκεύσας*
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορᾶς σείων
ἠλαζονεύετ'. ἀλλὰ δὴ κύων γραίη
πρὸς αὐτὸν εἶπεν „ὦ τάλαν, τί σεμνύνῃ;
οὐ κόσμον ἀρετῆς τοῦτον οὐδ' ἐπεικείης,
σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίας κρούεις."

Ἔλεγχον ὁ μῦθος ἔχει τῶν οὐ καλῶς ἐφ' ἑαυτοῖς μέγα φρονούντων, ὅταν διὰ κακίαν τι πάθοιεν.

105 *Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης*
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπασ' αὐτοῦ. καὶ λύκος σταθεὶς πόρρω

„ἀδίκως ἀφείλου τῶν ἐμῶν“ ἐκεκράγει.
λέων δὲ τερφθεὶς εἶπε τὸν λύκον σκώπτων
„σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη.“

Ὁ μῦθος δικαίως καὶ προσφόρως ῥηθήσεται πρὸς ἄνδρας ἀδίκους, ἀλλήλους αἰτιωμένους, ἐπὶ τῷ αὐτῷ πταίσματι κειμένους.

106 Λέων ποτ᾽ ἀνδρῶν βίον ἄριστον ἐζήλου,
καὶ δὴ κατ᾽ εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ὀριτρόφων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.
πολὺς δ᾽ ὑπὸ σπήλυγγι θαμινὰ παντοίων
θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ᾽ εἱστία τε κἀφίλει νόμῳ ξείνων,
λίην τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ᾽ ἧς τὰ πολλὰ μειλίχως συνεξήκει.
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
κρεῶν τε συσσίτοισι διανέμων μοίρας,
ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἷλεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
κερδὼ δ᾽ ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
καὶ δή ποτ᾽ αὐτὴν προσποιητὰ σιγῶσαν
λέων τίν᾽ εἶχεν αἰτίην διηρώτα,
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσα.
„κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθεις·
φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον.“
ἡ δ᾽ εἶπεν „ὦ φέριστε θηρίων γέννης,
πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει,
τὰ δ᾽ ἔπειτα“ φησί „προσκοπουμένη κλαίω.
καθ᾽ ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ᾽ ἄλλος

ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,
τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."
ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας
εἶπεν „πιθήκῳ ταῦτα μηδ' ἐμοὶ μέμφου."

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.

107 Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων
τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·
„ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους
θηρῶντα νηδὺν σαρκὶ τῇδε πιαίνειν·
μυὸς δὲ δεῖπνον οὐδ' ἄκρων ἐπιψαῦσαι
χειλῶν θέμις σῶν. ἀλλὰ λίσσομαι, φείδου.
ἴσως χάριν σοι τῆσδε μικρὸς ὢν θήσω."
γελάσας δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζῶντα,
καὶ φηλαγρευταῖς ἐμπεσὼν νεανίσκοις
ἐδικτυώθη, καὶ σφαλοῖς ἐδεσμεύθη.
ὁ μῦς δὲ λάθρῃ χηραμοῦ προπηδήσας,
στερρόν τ' ὀδοῦσι βραχυτάτοις βρόχον κείρας,
ἔλυσε τὸν λέοντα, τοῦ τὸ φῶς βλέψαι
ἐπάξιον δοὺς μισθὸν ἀντιζωγρήσας.
σαφὴς ὁ μῦθος εὐνοοῦσιν ἀνθρώποις,
σῴζειν πένητας, μηδέ πως ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦς ἔσωσ' ἀγρευθέντα.

Μῦθος μέν, ὦ παῖ βασιλέως Ἀλεξάνδρου,
Σύρων παλαιόν ἐστιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦσαν ἐπὶ Νίνου τε καὶ Βήλου·
πρῶτος δέ φασιν εἶπε παισὶν Ἑλλήνων
Αἴσωπος ὁ σοφός, εἶπε καὶ Λιβυστίνοις

λόγους Κυβίσσης. ἀλλ' ἐγὼ νέῃ μούσῃ
δίδωμι φαλάρῳ χρυσέῳ χαλινώσας
τὸν μυθίαμβον ὥσπερ ἵππον ὁπλίτην.
ὑπ' ἐμοῦ δὲ πρώτου τῆς θύρας ἀνοιχθείσης
εἰσῆλθον ἄλλοι, καὶ ψοφωτέρας μούσης
γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,
μαθόντες οὐδὲν πλεῖον ἢ γεγωνίσκειν.
ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει,
καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγων,
ἀλλ' εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας,
ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.

108 Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ' ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ' οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·
τρώγων δ' ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας μελαίνῃ συμπεφυρμένας βώλῳ
„μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου,
ἐν πυθμέσιν γῆς κρίμνα λεπτὰ βιβρώσκων.
ἐμοὶ δ' ὑπάρχει πολλὰ καὶ περισσεύει·
τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείας.
εἴ μοι συνέλθοις, ὡς θέλεις ἀσωτεύσῃ,
παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.
ἔδειξε δ' αὐτῷ, ποῦ μὲν ἀλφίτων πήρη,
ποῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων
σχάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ' ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,

ἀνέῳξε τὴν θύραν τις· ὁ δ' ἀποπηδήσας
στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,
ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.
μικρὸν δ' ἐπισχὼν εἶτ' ἔσωθεν ἐκκύψας
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·
ἕτερος δ' ἐπῆλθεν ἄλλο τι προαιρήσων·
οἱ δ' ἔνδον ἐκρύβοντο. μῦς δ' ἀρουρίτης
„τοιαῦτα δειπνῶν“ εἶπε „χαῖρε καὶ πλούτει,
καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,
ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων.
ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω.“

Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κακαῖς συμβουλίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου καὶ κινδύνοις καθυποβάλλειν χάριν ῥεουσῶν ἡδονῶν.

109 *„Μὴ λοξὰ βαίνειν“ ἔλεγε καρκίνῳ μήτηρ,*
„ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν.“
ὁ δ' εἶπε „μῆτερ ἡ διδάσκαλος, πρώτη
ὀρθὴν ἄπελθε, καὶ βλέπων σε ποιήσω.“

Ἀντίρρησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.

110 *Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης*
εἶπεν „τί χάσκεις; πάνθ' ἕτοιμά σοι ποίει·
μετ' ἐμοῦ γὰρ ἥξεις.“ ἡ δὲ κέρκον οὐραίην
ἄρασά φησι „πάντ' ἔχω· σὺ βαρδύνεις.“

Πρὸς ἄνδρα ἀπαρασκεύαστον πρὸς τὸν ἐν ἑτοιμασίᾳ ὄντα, καὶ περὶ συνοδοιπορίας κατεπείγοντα ὁ λόγος εὔκαιρος.

111 *Μικρέμπορός τις ὄνον ἔχων ἐβουλήθη,*
τοὺς ἅλας ἀκούων παρὰ θάλασσαν εὐώνους,

τούτους πρίασθαι, φορτίσας τε γενναίως
τὸν ὄνον κατῆγε. τῆς δ' ὁδοῦ προκοπτούσης
ὤλισθεν ἄκων εἴς τι ῥεῖθρον ἐξαίφνης,
καὶ συντακέντων τῶν ἁλῶν ἠλαφρύνθη,
ῥᾴων δ' ἀνέστη καὶ παρῆν ἀμοχθήτως
εἰς τὴν μεσόγεων. τοὺς ἅλας δὲ πωλήσας,
πάλιν γομώσων τὸν ὄνον ἦγε, καὶ πλείω
ἔτ' ἐπετίθει τὸν φόρτον. ὡς δὲ μοχθήσας
διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεσὼν πρῴην,
ἑκὼν κατέπεσε, καὶ πάλιν δ' ὅλους τήξας
γαύρως ἀνέστη κοῦφος ὥς τι κερδήνας.
ὁ δ' ἔμπορος τέχνην τιν' ἐπινοῶν πλείους
σπόγγους κατῆγεν ὕστερον πολυτρήτους
ἐκ τῆς θαλάσσης, τούς θ' ἅλας μεμισήκει.
ὁ δ' ὄνος πανούργως, ὡς προσῆλθε τῷ ῥείθρῳ,
ἑκὼν κατέπεσεν· ἀθρόως δὲ τῶν σπόγγων
διαβραχέντων πᾶς ὁ φόρτος ὠγκώθη,
βάρος δὲ διπλοῦν ἦλθε βαστάσας νώτοις.
[πολλάκις ἐν οἷς τις ηὐτύχησε καὶ πταίει.]

112 Μῦς ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήσας
τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης,
ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,
ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει, καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει,
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας
„οὐχ ὁ μέγας αἰεὶ δυνατός. ἔσθ' ὅπου μᾶλλον
τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει."

113 Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης

κνηκὸν μετ᾽ αὐτῶν λύκον ἔμελλε συγκλείειν.
ὁ κύων δ᾽ ἰδὼν πρὸς αὐτὸν εἶπε „πῶς σπεύδεις
τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγων ἡμῖν;“

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικία.

114 Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει
πρὸς τοὺς παρόντας ὡς ἑωσφόρου κρείσσων,
λάμπειν ἅπασιν ἐκπρεπέστατον φέγγος.
ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη
πνοῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων
εἰπέν τις αὐτῷ „φαῖνε, λύχνε, καὶ σίγα·
τῶν δ᾽ ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει.“

Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.

115 Νωθὴς χελώνη λιμνάσιν ποτ᾽ αἰθυίαις
λάροις τε καὶ κήυξιν εἶπεν ἀγρώσταις
„κἀμὲ πτερωτὴν εἴθε τις πεποιήκοι.“
τῇ δ᾽ ἐκ τύχης ἔλεξεν αἰετὸς ταῦτα.
„πόσον, χέλυνα, μισθὸν αἰετῷ δώσεις,
ὅστις σ᾽ ἐλαφρὴν καὶ μετάρσιον θήσω;“
„τὰ τῆς ἐρυθρῆς πάντα δῶρά σοι δώσω.“
„τοιγὰρ διδάξω“ φησίν. ὑπτίην δ᾽ ἄρας
ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας
ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.
ἡ δ᾽ εἶπεν ἐκψύχουσα „σὺν δίκῃ θνήσκω·
τίς γὰρ νεφῶν μοι καὶ τίς ἦν πτερῶν χρεία,
τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;“

116 Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως.
γυνὴ δ᾽ ἀκούει τοῦδε, κἀξαναστᾶσα
θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα

λαμπρᾶς σελήνης ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι,
κάτω μελάθρων ἦλθε, καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.
ἀνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης
ζητῶν ὁπούστί, κοὐκ ἰδὼν δόμων εἴσω
ἀμηχανῶν τε καὐτὸς ἦλθεν εἰς οἶμον.
καὶ τῇ συνεύνῳ φησί „μηδὲν ἐκπλήσσου,
τὸν παῖδα δ' ἡμῶν πεῖσον εἰς δόμους ἥκειν."
ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,
ἄμφω θελόντων δρᾶν τι, χῆδ' ἐραθύμει.
τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακόν ἐστι δαίρειν ὅταν ἔχῃ τις ἐκτῖσαι.

117 Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ,
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ' αὐτὸν ἐσμὸς ἦλθε μυρμήκων,
σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν·
ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πλείους.
Ἑρμῆς δ' ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων
„εἶτ' οὐκ ἀνέξῃ" φησί „τοὺς θεοὺς ὑμῶν
εἶναι δικαστὰς οἷος εἶ σὺ μυρμήκων;"

Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν εἶναι.

118 Ξουθὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
ἦρος καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
ὅπου γερόντων οἶκος ἦν δικαστήρων·

κἀκεῖ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ,
οὔπω πτερίσκοις πορφυροῖς ἐπανθούντων.
ὄφις δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
ἅπαντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
παίδων ἀώρων συμφορὰς ἀπεθρήνει,
„οἴμοι“ λέγουσα, „τῆς ἐμῆς ἐγὼ μοίρης·
ὅπου νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
ἔνθεν χελιδὼν ἠδικημένη φεύγω.“

Κατὰ δικαστῶν ὁ λόγος βοηθεῖν δυναμένων τοῖς μηδὲν κακὸν πράξασι, καὶ τούτοις ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν ἀνάληψιν παρεχομένων.

119 Ξύλινόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ τεχνίτης.
σπένδων δὲ τούτῳ καὶ καθ' ἡμέραν θύων
ἔπρασσε φαύλως. τῷ θεῷ δ' ἐθυμώθη,
χαμαὶ δ' ἀπεκρότησε τοῦ σκέλους ἄρας.
χρυσὸς δὲ κεφαλῆς ἐρρύη καταγείσης,
ὃν συλλέγων ἄνθρωπος εἶπεν „Ἑρμεία,
σκαιός τίς ἐσσι καὶ φίλοισιν ἀγνώμων,
ὃς προσκυνοῦντας οὐδὲν ὠφέλεις ἡμᾶς,
ἀγαθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.
τὴν εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ᾔδειν.“
καὶ τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,
βουλόμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους.
πλέον οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,
ἀτιμάσας δ' ἂν αὐτὸν ὠφεληθείης.

120 Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,
ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ' εὐρίποις,
εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις
„ἰατρός εἰμι φαρμάκων ἐπιστήμων,
οἵων τάχ' οὐδεὶς οἶδεν, οὐδ' ὁ Παιήων,

ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει."
„καὶ πῶς" ἀλώπηξ εἶπεν „ἄλλον ἰήσῃ,
ὃς σαυτὸν οὕτω χλωρὸν ὄντα μὴ σῴζεις;"

Πρὸς ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλους παιδεύειν ἐπαγγελλόμενον.

121 Ὄρνις ποτ' ἠσθένησε. τῇ δὲ παρκύψας
αἴλουρος εἶπε „πῶς ἔχεις; τίνων χρῄζεις;
ἐγὼ παρέξω πάντα σοι· μόνον σῴζου."
ἡ δ' „ἂν ἀπέλθῃς" εἶπεν, „οὐκ ἀποθνήσκω."

Πρὸς τοὺς πονηρᾷ διαθέσει χρηστότητα ἐπιδεικνυμένους ὁ λόγος εὔκαιρος.

122 Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει·
λύκον δ' ἰδὼν παρόντα καὶ σαφῆ δείσας
ὄλεθρον οὕτως εἶπεν. „ὦ λύκε, θνήσκω,
μέλλω τ' ἀποπνεῖν· σοὶ δὲ συμβαλὼν χαίρω.
σὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήσεις.
χάριν δέ μοι δὸς ἀβλαβῆ τε καὶ κούφην,
ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν εἰρύσσας,
ὥς μου κατέλθῃ πνεῦμ' ἀναλγὲς εἰς ᾅδου."
κἀκεῖνος εἰπὼν „χάριτος οὐ φθονῶ ταύτης"
ὀδοῦσιν ἄκροις σκόλοπα θερμὸν ἐξῄρει.
ὁ δ' ἐκλυθεὶς πόνων τε κἀνίης πάσης
τὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει,
ῥῖνας μέτωπα γομφίους τ' ἀλοιήσας.
„οἴμοι" λύκος, „τάδ'" εἶπε „σὺν δίκῃ πάσχω·
τί γὰρ ἄρτι χωλοὺς ἠρξάμην ἰατρεύειν,
μαθὼν ἀπ' ἀρχῆς οὐδὲν ἢ μαγειρεύειν;"

Ὅτι οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιτηδεύειν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦντες βλάβην ἑαυτοῖς ἐπιφέρουσι.

123 Ὄρνιθος ἀγαθῆς χρύσε᾽ ᾠὰ τικτουσης,
ὁ δεσπότης θησαυρὸν ᾤεθ᾽ εὑρήσειν
ἐν τῇσδε πλεῖστον ἐγκάτοις ἀγερθέντα,
κἄκτεινε ταύτην, ἀθρόων μένων λῆψιν.
εὑρὼν δ᾽ ὅμοια τἄνδον ὀρνέοις ἄλλοις
ᾤμωξε πολλὸν ἐλπίδων ἀτευκτήσας·
πλείονος ἔρως γὰρ ἐστέρησε τῶν ὄντων.

124 Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ᾽ αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι.
„τὸ λοιπόν“ εἶπε „δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς τὸν ἦχον ὑπνώσεις;“
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὁ δ᾽ ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει,
τὸν ὠρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ
πότ᾽ ἐννυχεύει χυσότοξος Ὠρίων;
ἔργων δὲ τίς σε πρωινῶν ἀναμνήσει,
ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;“
κἀκεῖνος εἶπεν „οἶσθα χρησίμους ὥρας·
ὅμως δὲ δεῖ σχεῖν τὸν φίλον τί δειπνήσει.“

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς λόγος ἰσχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ᾽ ἡδονήν.

125 Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων

τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ' ὄνος πρὸς αὐτόν, ὃς τὰ νῶτ' ἐληλέγχει,
„καὶ μὴν πίθηκος ἐχθές“ εἶπε „καὶ πρώην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας.“

Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίως ἔχοντας τὰς δόξας καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.

126 Ὄνος τις οὐκ εὔμοιρος ἀλλὰ δυσδαίμων
γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη,
ὅστις φέρῃ πτωχοῖσι καὶ παντουργοῖσιν
πείνης ἄκος δίψης τε, καὶ τὰ τῆς τέχνης.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
περιόντες ἐλέγοντ' ὄψα· τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης; . . . .

127 Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημίαν
ἑστῶσαν εὗρε τὴν Ἀληθίην μούνην.
καί φησιν αὐτῇ „διὰ τίν' αἰτίην, γραῖα,
τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν ναίεις;“
ἡ δ' εὐθὺ πρὸς τάδ' εἶπεν ἡ βαθυγνώμων
„ὅτι πρὸ τοῦ μὲν παρ' ὀλίγοισιν ἦν ψεῦδος,
νῦν δ' εἰς ἅπαντα βροτὸν ἐλήλυθε ψεῦδος.
εἰ δ' ἔστιν εἰπεῖν καὶ κλύειν ἐμοῦ βούλῃ,
ὁ νῦν πονηρὸς βίοτός ἐστιν ἀνθρώπων.“

Ὁ λόγος οὗτος ἀνθρώπους κωμῳδεῖ, ὧν ἡ ἀλήθεια μακρὰν πέφευγε διὰ τὸ τὸ ψεῦδος τούτους φιλεῖν καὶ μᾶλλον συνοικεῖν.

128 Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε κωμήτης . . . .
„ὄνος εἶ θεὸν φέρων σὺ . . . . . .

129 Ὁ Ζεὺς γράφοντ' ἐν ὀστράκοισιν Ἑρμείην
. . . .
ἐκέλευσεν εἰς κιβωτὸν αὐτὰ σωρεύειν
. . . . . . ἐρευνήσας
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις
τὸ μὲν βράδιον τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ' εὐθύνοι.
τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν
ἂν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.

130 Οἰῶν τις εἶπε πρὸς νομῆα τοιαῦτα.
„κείρεις μὲν ἡμᾶς, καὶ πόκους ἔχεις κέρσας,
τὸ γάλα δ' ἀμέλγοντ' ἔστι σοι φλέον πῆξαι,
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.
πλέον οὐδὲν ἡμῖν, ἀλλὰ χὴ τροφὴ γαίης
ἅπασ'· ἐν ὄρεσι δ' εὐθαλὲς τί γεννᾶται;
βοτάνη γ' ὀρείη καὶ δρόσου γεμισθεῖσα,
φέρβεις δ' ἄρ' ἡμῖν τὴν κύν' ἐν μέσοις ταύτην,
τρέφων ὁποῖα σαυτὸν εὐθαλεῖ σίτῳ."
τούτων ἀκούσασ' ἡ κύων ἔφη τοῖα·
„εἰ μὴ παρήμην κἀν μέσοις ἐπωλεύμην,
οὐκ ἄν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην·
ἐγὼ δὲ περιτρέχουσα πάντα κωλύω
δρηστῆρα ληστὴν καὶ λύκον διωκτῆρα."

Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονομένους εὐημερίᾳ ἐστίν, ὅτε καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιστα ὠφελοῦνται.

131 Ὄνον τις ἔτρεφε καὶ κυνίδιον ὡραῖον.
τὸ κυνίδιον δ' ἔχαιρε παῖζον εὐρύθμως,
τὸν δεσπότην τε ποικίλως περισκαῖρον·
κἀκεῖνος ἀντέχαιρεν αὔτ' ἔχων κόλποις.

ὁ δέ γ᾽ ὄνος αὖ τὰς νύκτας ἤλεει πάσας
πυρὸν φίλης Δήμητρος, ἡμέρας δ᾽ ὕλην
κατῆγ᾽ ἀφ᾽ ὕψους, ἐξ ἀγροῦ θ᾽ ὅσων χρεία.
καὶ νῦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης
ἔτρωγε κριθῆς χόρτον ὥσπερ εἰώθει.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
σκύμνον θεωρῶν ἁβρότητι σὺν πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ κάλους ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθεν ἄμετρα λακτίζων.
σαίνων δ᾽ ὁποῖα, καὶ θέλων περισκαίρειν,
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν ἔθλα,
ἅπαντα δ᾽ εὐθὺς ἠλόησε τὰ σκεύη.
δειπνοῦντα δ᾽ ἐγγὺς ἦλθε δεσπότην κύσσων,
νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου
θεράποντες ἐν μέσοισι τοῦτον ὡς εἶδον,
ἐσάωσαν . . . .
κρανέης δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων
ἔκτεινον, ὡς δὴ καὐτὸς ὕστατ᾽ ἐκπνείων
„ἔτλην“ ἔλεξεν „οἷα χρή με, δυσδαίμων·
τί γὰρ παρ᾽ οὐρήεσσιν οὐκ ἐπωλεύμην,
βαιῷ δ᾽ ὁ μέλεος κυνιδίῳ παρισούμην;“

Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται.

132 Σοφῆς ἀράχνης ἱστὸν εὗρε κωλώτης,
καὶ λεπτὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου . . . .

133 Στικτή ποτ᾽ ηὔχει πάρδαλις φορεῖν μούνη
δορὴν ἁπάντων ποικιλωτάτην ζῴων.
πρὸς ἣν ἀλώπηξ εἶπ᾽ „ἐγὼ δὲ κἀκείνης
κρείσσω τ᾽ ἔχω καὶ ποικιλωτέρην γνώμην.“

134 *Ποιμήν τις εὗρε νεόγονον λύκου σκύμνον . . . .*
[γνώμη πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.]

135 *Υἱὸν γέρων τις δειλὸς εἶχε γενναῖον . . . .*
χὤπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
ἀνέθηκε τοίχοις ποικίλας γραφὰς ζῴων . . . .
. . . τῇδ᾽ ἐν οἰκίῃ κατεκλείσθην . . . .
. . . . . ὄγκωμα μέχρι βουβῶνος . . . .
ἅ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

136 *Ὑμηττία μέλισσα, κηρίων μήτηρ,*
. . . . ἀνῆλθεν εἰς θεῶν οἴκους . . . .
. . . .
ἡ δ᾽ εἶπε „δός μοι κέντρον . . . . .
καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν . . . .
ζωὴ γὰρ αὐτῆς ἐστὶ πετομένης κέντρον.

137 *Χειμῶνος ὥρῃ σῖτον ἐκ μυχοῦ σύρων*
ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.
τέττιξ δὲ τοῦτον ἱκέτευσε λιμώττων,
δοῦναί τι καὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
„τί οὖν ἐποίεις“ φησί „τῷ θέρει τούτῳ;“
‚οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.‘
γελάσας δ᾽ ὁ μύρμηξ, τόν τε πυρὸν ἐγκλείων,
„χειμῶνος ὀρχοῦ“ φησίν, „εἰ θέρους ηὖσας.“
[κρεῖττον τὸ φροντίζειν ἀναγκαίων χρειῶν
ἢ τὸ προσέχειν νοῦν τέρψεσίν τε καὶ κώμοις.]

138 . . . . . ἄσωτος καταφαγὼν τὰ πατρῷα . . . .
ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης . . . .

139 εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντ' ἐγεννᾶτε,
οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

140 μέλλονθ' ἑαυτὸν εἶδε κυριευθῆναι . . . .

Τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσι.

141 . . . . κατῆλθεν εἰς βαθὺν κρημνόν . . . .
. . . . καὶ βοηθὸν ἐζήτει . . . .

Δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶς περιορᾶν καὶ οὕτως τὴν τούτων ἐγχείρησιν ποιεῖσθαι.

142 πτεροῖσι τοῖς ἐμοῖσι νῦν κατεβλήθην."

143 Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ
χλωρὴν ἀεὶ 'βόσκοντο λείμακος ποίην . . . .

144 στρουθὸς Λίβυσσα . . . .

145 τοῦτον προσεῖπεν ἄμπελος „τί με βλάπτεις;
μὴ οὐκ ἔστι χλοίη; . . . .

146 οὔπω δὲ καιρός ἐστιν ἤι' ἀλλύειν . . . .

INDEX FABULARUM LACHMANNIANUS. *)

*) Halmianos numeros non addidimus, quoniam ex accuratissimo indice sedes fabularum nullo negotio cognosci possunt.

ΑΙΣΩΠΕΙΩΝ ΜΥΘΩΝ ΣΥΝΑΓΩΓΗ.

FABULAE AESOPICAE COLLECTAE.

EX RECOGNITIONE

CAROLI HALMII.

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLXIII.

PRAEFATIO.

Cum ab honestissimo librario invitatus essem, ut fabulas quas vocant Aesopicas in corpore scriptorum Graecorum et Latinorum, quod acerrimo studio edere ingressus est, publicarem, ut haud invitus negotium suscepi, ita novam editionem paraturus statim in magnam difficultatem incurri, cum incertus haererem, quae collectio ex tribus quae hoc saeculo in lucem emissae sunt typis repetenda esset. Sed quo diutius rem mecum reputabam, eo magis in eam sententiam deducebar non unam aliquam universam hodie repeti oportere, sed novam ex tribus concinnandam esse. Quam enim *Franciscus de Furia* anno 1810. publicavit collectionem, eam iam propterea, ut alia omittam, integram repetere nolui, quod inter fabulas 199, quas ille ex codice Florentino edidit, aliae interpolationibus ineptissimis foedatae, aliae sermone plane barbaro conscriptae sunt, quae eaedem in aliis codicibus multo emendatiores et puriore sermone compositae exstant. Haec editio repetita est in stereotypa Tauchnitziana, quam qui curavit nec ipse innumerabilia vitia, quibus Florentina scatet, corrigere scivit nec audisse videtur ingentem vitiorum numerum, quae editor Florentinus in suo exemplo patienter toleravit, iam aliquot annis ante cura Corais et Car. Ern. Christoph. Schneideri, qui editionem Florentinam Lipsiae a. 1810.' iterum vulgavit, recte emendata fuisse. Post editionem Francisci de Furia eodem anno Parisiis prodiit amplissimum fabularum Aesopicarum corpus quod *Corais* curavit. Haec editio quamquam omnium optima merito habetur, tamen ita est instituta, ut neque totum corpus repeti neque unicum novae editionis fundamentum fieri potuerit. Nam Corais omnes fabulas, quotquot ex diversis codicibus editae erant, in unum corpus coegit, qua re ad usum criticum ille quidem apparatum copiosissimum congessit, sed minus legentium iucunditati prospexit; nam pauci erunt qui unam eandemque fabulam quinquies sexiesve narratam et haud raro aliam alia deterius sine taedio lectitare possint. Neque delectus ex hac una editione fieri poterat, sed simul tertia collectio, quam *Io. Gottl.*

Schneiderus ex codice Augusteo bibliothecae Wolfenbuttelanae a. 1812. Vratislaviae publicavit, adhibenda erat. Haec enim, quae 231 fabulas continet, eo nomine praedicanda est quod haud exigua fabularum pars reliquis eiusdem argumenti aut inventionis aut orationis laude multum praestat. Ex his igitur tribus collectionibus novam ita adornavi, ut si quam fabulam a compluribus auctoribus narratam inveniebam, eam quae optime narrata vel minime vitiata videretur eligerem, et ubi operae pretium videbatur, eiusdem fabulae aliam narrationem, quae aliquam insignem aut in argumenti tractatione aut in elocutione diversitatem haberet, adiungerem. Quoniam autem ex tribus diversis collectionibus nova componenda erat, ne vetus quidem fabularum ordo, quippe qui in quaque collectione diversus sit, servari poterat. Quae res cum ita se haberet, optimum duxi titulorum ordinem alphabeticum sequi, quo facilius quaeque fabula in mea editione inveniri posset.

Sed alia praeterea difficultas superanda erat, quae mihi quidem tanta videbatur, ut quidquid faceres male factum videretur. Nam constat Franciscum de Furia sex et triginta fabulas, quas apud alios auctores non invenerat, ex codice Vaticano primum edidisse, quarum quidem pleraeque tam manifesta choliamborum vestigia prae se ferunt, ut non interpretationem aut paraphrasim Babrii poetae, sed ipsos eius versus ac multos ne solutos quidem ante te habeas. Quod si editor Florentinus animadvertisset, ut Niebuhrius primo aspectu agnovisse dicitur, fortasse nunc integrum Babrium haberemus; nam codicem Florentia Romam remissum iam Niebuhrius ibi frustra quaesivit, cum incertum est quo fato deperisset. Iam postquam complures fabulae, quas Fr. de Furia ex codice Vaticano primum publicavit, iterum ex codice Babrii in monte Athoo reperto editae sunt, quid faciendum erat totum corpus fabularum pedestrium iterum edituro? Cum enim quod unum mihi probabatur, ut omnes Babrii fabulae in novam editionem reciperentur, librario ob eam causam displicuisset, quod Babrium edendum iam prius Schneidewino commiserat eundemque poetam bis typis exprimere noluit, mihi aut pars fabularum Vaticanarum prorsus omittenda (nam semicholiambos nemo iam ferret, cum plenos choliambos nunc ex alio fonte habeamus), aut saltem aliquot Babrianae recipiendae erant. Re autem diu mecum reputata tandem eam viam ingressus sum, ut in iis

fabulis Vaticanis, quae non haberent nisi versus Babrii solutos, ipsos versus choliambicos darem, in aliis, quae verbis liberius immutatis in codice Vaticano exstant, interpretationem pedestrem eligerem. Quoniam autem aliquot fabulae Babrianae a nova editione excludi non poterant, etiam longius progressus illas quoque fabulas Babrianas recipiendas existimavi, quarum nulla exstat interpretatio pedestri sermone composita, ut nova editio totum thesaurum fabularum, qui ad nostram aetatem pervenit, modico volumine complecteretur.

Restat ut locos indicem, qui mihi coniectura sanandi videbantur, qua in re multa leviora quae correxi silentio praetermittam itemque plerosque eos locos, qui comparatis aliis fabulis eiusdem argumenti levi negotio emendari poterant. In fabula 1, quae est una ex Vaticanis, codex habet: *καὶ τἀγαθὰ ἠρώτησαν τὸν Δία, πῶς εἶναι μετὰ ἀνθρώπων.* Putabat Corais *εἶναι* ex *εἴη* corruptum esse; ego malui *δεῖ* inserere, unde etiam sequens infinitivus *ἐπέρχεσθαι* pendet. — Sub finem fabulae 5 pro eo quod cod. Augusteus habet „*καὶ γὰρ ἦσαν ἔτι πτηνοὶ ἀτελεῖς*“ scribendum duxi: *ἔτι ἀπτῆνες οἱ ἀετιδεῖς*, cum sit in edit. Neveletiana: *οἱ ἀετιδεῖς ἀπτῆνες ἔτι τυγχάνοντες.* — In fab. 8 fere paenitet non scripsisse *τὰ ὠκύπτερα* pro *τὰ ὀξύπτερα*, quamquam diversi codices, quibus haec fabula continetur, in hac voce omnes consentiunt. — In fab. 12 scripsi *παραβάλλων* pro *παραβαλών*, quod sequens *ἐκ παραλλήλου* positum *περισωρεύων* requirere videbatur. In epimythio eiusdem fabulae cod. Augusteus corrupte habet: *ἵνα .. συνίζεσθαι τὰς φιλίας.* Quid lateat nescio, fortasse *ἐνίζεσθαι* vel *συνενίζεσθαι*; sed dedi *προσεταιρίζεσθαι*, quod saltem sententiae convenit, quamquam ne ipse quidem verum iudico. — In fab. 12[b] scripsi *γελαστὸς* pro *γελάσας*, ut haud scio an etiam apud Babrium 45, 12 pro *γελοῖος* corrigendum sit. — Fab. 16[b] in editionibus sic orditur: *Ὄρνις δέ ποτε*, quod mendum sic corrigendum erat: *Ὄρνις δήποτε.* In posteriore enim graecitate *δήποτε* fere promiscue pro *ποτὲ* in usu erat, ut exstat item in initio fabulae num. 25, 152, 362, 383 ed. Fur. Contra vitiosum *δέ ποτε* est ibidem num. 119, 120 (in nostra edit. 21[c] et 303), 196, 198, quae menda ne Corais quidem sustulit. — In fab. 21[c] pro *τίς αὐτὴν ἐγγήμει* scripsi: *τίς αὐτὴν ἐγγήμῃ*, ut saltem soloecismus tolleretur; sed num ipsum *ἐγγαμεῖν* sanum sit, admodum dubium videtur. Paulo post Corais acute coniecit *φαιδρὸς* pro *σφο-*

δρῶς corrigendum videri, quae haud scio an necessaria sit emendatio. — In fab. 28 scripsi *αὐξυνθεῖσαν* pro *αὐξανθεῖσαν* ex Lachmanni emendatione. Cum enim iam exemplum fabularum a me correctum Lipsiam misissem, ex amplissima Lachmanni bibliotheca emptionis iure comparata ad me pervenit editio Schneideriana a. 1812, in cuius marginibus homo in paucis ingeniosus aliquot egregias emendationes notavit. Non idem subsidium praebuit editio Corais, quam ex eiusdem bibliotheca possideo; in hac enim nullae emendationes, sed haud paucis locis vestigia metrorum, quae in fabulis in pedestrem sermonem dissolutis inveniuntur, significata sunt; uno tamen loco (v. ad fab. 280 pag. XI) egregiam emendationem suppeditavit. — In fab. 30 adhuc sic legebatur: *Τοῦ δὲ ῥεύματος ταύτην (τὴν ἀλώπεκα) εἰς μέσον κατασύραντος, καὶ τῶν λοιπῶν, παρὰ τὴν ὄχθην ἑστηκυιῶν, πρὸς αὐτὴν εἶπον, Μὴ ἐάσῃς ἡμᾶς, ἀλλὰ στραφεῖσα ὑπόδειξον τὴν εἴσοδον, δι' ἧς ἀκινδύνως δυνησόμεθα πιεῖν. Ἐκείνη ἀπαγομένη ἔλεγεν* etc. Restitui verborum compositionem, quae nulla erat, *εἰπουσῶν* pro *εἶπον* scribens; apparet enim apodosim a verbis *ἐκείνη ἀπαγομένη ἔλεγεν* incipere. — In fab. 41 reliquit I. C. Schneiderus vitiosam scripturam cod. Augustei *τῶν ἀρνῶν ἕνα λαβομένη*, quamquam cod. Florent. habet *τῶν ἀρνίων ἓν λαβομένη* et auctor ipse infra scripsit *τιθηνοῦμαι αὐτὸ* et deinde *ἢν μὴ ἀφῇς τὸ ἀρνίον*. Sed sic demum absoluta erit emendatio, si mecum scripseris: *τῶν ἀρνίων ἓν ἀναλαβομένη*, ut item in ed. Flor. restituendum est. Cf. fab. 47ᵇ. — In fab. 43ᵇ, quae una est ex Syntipae *παραδειγματικοῖς λόγοις*, qui omnes pessimam graecitatem habent, dubito num rectum sit *ἐπὶ τὸ αὐτὸ ὡδοιπόρουν*, videturque *ἐπὶ τῷ αὐτῷ* scribendum esse, quoniam exemplum codicis Augustei (in mea ed. num. 43) *ἐν τῷ αὐτῷ ὁδοιποροῦντες* habet. — In epimythio fabulae 45 scripsi *αὐτοῖς ἐπιχειρεῖν* pro eo quod est in cod. Augusteo *ἐγχειρεῖν*. — In fab. 47 idem codex habet: *οἷα κεφαλὴ ἐγκέφαλον οὐκ ἔχει*. Malim: *οἷα κεφαλή· ἐγκέφαλον δ' οὐκ ἔχει*. — In fab. 53, quae item una est ex Syntipianis, intacta reliqui verba *φόβου εὐθὺς καὶ χαρᾶς ἀνάπλεως γίνεται*, quamquam exspectes *φοίβου* pro *φόβου*, sed nescio alibine hoc vocabulum substantivi vicem gerens inveniatur. — In fab. 57 scripsi pro *πότερον κυνὸς* cum Lessingio *πότερον λύκου*, cum lectio librorum a sententia fabulae prorsus abhorreat. — In fab. 63 *πρὸς αὐτὸν* emendavi in *πρὸς αὐτὴν*, ut

στήλη intelligatur. — In fab. 84 (Babr. 28) videndum est ne in versu extremo, cum codex ex monte Athoo ποσάτητα habeat, verius sit ποσσότητα i. e. *granditatem*, quam quod ex cod. Vaticano Lachmannus recepit ποιότητα, quod Corais in πιότητα mutare voluerat. — Ad fab. 85. De avi noctivaga incertae significationis βασταλὶς (nisi nomen corruptum est; nam in aliis codd. βούταλις scribitur) v. Cor. p. 416 et I. G. Schneid. p. 170. In eadem fabula cum codex Aug. habeat συνελήφθεν, malui scribere συνελήφθην et deinde ἐσωφρονίσθην, quam prius vulgatum συνελήφθη recipere. — Fabula 87 nunc primum accessit, ut etiam specimen mythographiae Byzantinae exhiberetur. — In fab. 91 (Babr. 2) scripsi: καὶ τὴν δίκελλαν ἀπολέσας ἀνεζήτει, ubi codex habet ἐζήτει, Lachmannus autem ἀπολέσας ποτ' ἐζήτει dedit. Cf. locum simillimum Babriae 23, 2: Ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει. — In fab. 94[b] sustuli μὲν ante τῆς ὄψεως et scripsi ἐξαγριουμένη pro ἐπαγριουμένη, ut est infra ἐξαγριαίνουσιν. — In fab. 97[b] dubia videtur forma ἀνεζωώθη, pro qua fort. ἀνεζώθη scribendum est; reliqui tamen scripturam ob id quod Lobeckius ad Buttmanni grammat. maiorem Vol. II, p. 192, not. 3 adnotavit. — In fab. 100[b] scripsi: τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀναιρεῖν, ὁ ὀρνιθοθήρας ἔφη, ubi cod. Florentinus vitiose habet: ἀναιρεῖ καὶ ὁ ὀρνιθ. ἔφη. — In fab. 103 pro eo quod habet cod. Augusteus δεσμία κομίσαι posui δέσμην κομίσαι, cum nec numerus pluralis nec vocabulum ipsum ferendum videretur. Accedit quod infra codex ipse habet: λύσας τὴν δέσμην. — In fab. 107 invita loci sententia legebatur: ἀπήτει τὸν συναχθέντα μισθόν. Correxi τὸν συνταχθέντα μισθὸν, quae emendatio facilior videbatur, quam alia quae item locum habere poterat: τὸν στοιχηθέντα μ., ut est in fab. 107[b], in qua αὐτὸν ante ἐνώπιον delendum putavi. In eadem fabula dubito num verum sit ἐζήτει τὸν στ. μισθὸν, cuius loco cum in fab. 107 ἀπῄτει τὸν σ. μισθὸν inveniatur, hic quoque ἐξῄτει scribendum videtur. Deinde cod. Florent. mance habet: ἀναβλέψασα τοίνυν ἡ γραῦς οὐδὲν τῶν προσόντων αὐτῇ ἐθεάσατο ἐν τῇ οἰκίᾳ αὐτῆς· ὡς οὖν ἐπέμενεν ὁ ἰατρὸς etc., quem locum ex cod. Oxoniensi, in quo prior pars fabulae fere ad verbum cum cod. Flor. conspirat, supplevi. — In fab. 112 et 112[b] pro διετέλει πολλὰ ποιοῦσα ex fabula eiusdem argumenti in cod. Flor., quam propter magnas quas habet interpolationes recipere nolui, fortasse rectius διετέλει πολλὰ τελοῦσα

scribendum erat. Deinde scripsi in fab. 112: οὐ μικρὸν βίον πορίζουσα, ubi cod. August. barbarismum habet: οὐ μικρὰ βιοπορισθεῖσα. Sed possis etiam οὐ μικρὰ τῷ βίῳ πορίζουσα corrigere. Nec verba quae sequuntur „θεασάμενος δέ τις αὐτὴν ἐκ τῶν δικαστηρίων" sana videntur, ubi ἀπαγομένην post αὐτὴν intercidisse videtur, nisi sic corrigendum est: θεασάμενος δέ τις αὐτὴν τῶν ἐκ τοῦ δικαστηρίου. — In epimythio fabulae 131, quae Syntipam auctorem habet, adhuc vulgabatur: οἱ περιττοὺς καὶ ἀνοήτους κτώμενοι φίλους, ubi necessario ἀνονήτους corrigendum erat. — In fab. 138 codex Aug. habet: ὅθεν ὀρύξαντες σπήλαιον ποιήσουσι, quam lectionem I. G. Schneiderus egregiam nominat, quamquam ego non video, qua ratione cum argumento fabulae conveniat. Certam medicinam afferunt aliorum codicum lectiones qui habent: πλέον ὀνήσωσιν vel οἰήσωσιν vel οἴσωσιν. His adsumptis hanc novam effinxi: ὅθεν ὀρύξαντες πλεῖον ποιήσουσι. Sed nescio quo pacto factum ut πλεῖον, non πλέον scriberem, quod a Lachmanno in margine rectius pro σπήλαιον substitutum postea vidi. — In fab. 148 pro „διὰ τοῦ ἀρχοῦ" habet codex Aug. διὰ τὰς ἀρχάς, alii codd., in quibus est eadem fabula, διὰ τοῦ ὄχλου. Illud quod I. G. Schneiderus invenit recipere malui quam C. Fr. Hermanni commentum διὰ τοῦ ὄρρου (v. Mus. Rhen. Welckeri et Ritschelii V, p. 621) aut Volgeri διὰ τοῦ ὀχετοῦ in Praef. ad Fab. Aesop. p. XVIII ed. Lips. 1811. Sed male in eadem fabula Schneiderus ἂν ante verba αὐτὴν εἰσαγάγῃ adiecit, quod inducendum esse (invenitur enim in aliis codd.) iam Corais intellexerat, cuius sententia lectione codicis Aug. confirmata est. Deinde Lachmanno auctore codicis lectionem „ἂν ἕτερόν μοι ἐπεισέλθῃ" retinui; acute enim intellexit membrum virile significari, quam obscenam significationem qui ignorabant Ἔρως pro ἕτερον inepte substituerunt. — Sub finem fabulae 150 Schneiderum secutus ἀλλὰ ante verba μέχρι γονάτων inserui, sed incertus sum rectene id fecerim; nam potest μέχρι γονάτων etiam glossema verborum εἰς πᾶν τὸ σῶμα haberi. — In fab. 165 quod ante me vulgabatur „ὦ δειλότατον θηρίον, ποῦ σου ἡ προλαβοῦσα ἰσχύς;" C. Ern. Christ. Schneiderus in Indice Graecitatis sic interpretatus est: *ubinam est vis illa tua, quae antea abstulit?* sc. oves; vel intellecto ἑαυτήν: *ubi est vis illa, quae sibi magna videbatur?* Mihi cum neutra explicatio ne in tali quidem scriptore (habet enim fabella Syntipam auctorem) ferenda vide-

retur, scribendum putavi *προσβαλοῦσα* pro *προλαβοῦσα*: *ubi est fortitudo, quae istum impetum fecit?*, ut est supra: *λύκον θεασάμενος προσβάλλοντα τῇ ποίμνῃ*. — In fab. 166 perperam legebatur *καὶ οὕτως ἐπυνθάνετο*, quod mutavi in *καὶ ὡσαύτως ἐπυνθάνετο*. Sic enim vel *καὶ ὁμοίως* (cf. fab. 173[b]) scribendum fuisse sententia ipsa docet. In extrema autem fabula *συνεύξωμαι* pro *συνεύξομαι* correxi. — In epimythio fab. 167 malui pro eo quod cod. Augusteus habet *ῥάδιον φέρουσι*, corrigere *ῥᾷον φέρουσι* quam ex cod. Florent. *ῥαδίως* sumere; illud enim sententiae magis convenire videtur. Contra in epimythio fab. 187 fere paenitet non scripsisse: *ῥάδιον παραινεῖν ἃ πονεῖν ὑπῆρξεν ἀδύνατον*, pro *ῥᾷον κτλ.* — In fab. 168 adhuc vulgabatur: *προῆλθεν ὠχρὸς καὶ μόλις ζῶν*. Correxi *μόλις βαδίζων*, id quod confirmatur Babrii fab. 75, 10: *προῆλθεν ὠχρὸς, τοῖς ποσὶν μόλις βαίνων*. Intactam reliqui in eadem fab. lectionem *δεινὸν ἠπείλουν τοὺς ἰατροὺς πάντας*, quamquam vix sana videtur. — In fab. 174[b] lectionem vulgatam *μύλον ἀντὶ μάχης ἐλάμβανεν* ita emendavi, ut *μυλῶνα* restituerem, id quod necessarium erat, cum inferius idem legatur: *ἀντιλαμβάνω τὸν μυλῶνα τῆς μάχης*. — In fab. 185 scripsi *τοῦ χειμῶνος ἐνισταμένου* pro *τοῦ χ. ἐφισταμένου*; cf. fab. 173[b] in. — In fab. 187 scripsi *τί δὴ λοξὴν* etc. pro *τί δὲ λ.*, rectius, opinor, quam Corais, qui *δὲ* delevit. — In fab. 196 malae graecitatis, quam de Furia ex cod. 30. Plut. LVII bibliothecae Mediceae edidit, quod codex habet *ἀπελθὼν καὶ ὁ κλέπτης* mutavi in *ἐπελθὼν κ. ὁ κ.* — In fab. 200 legitur: *Γλαὺξ δὲ μόνη ἐπιγνοῦσα, τὸ ἑαυτῆς ἀφῃρεῖτο τὸν κολοιὸν, καὶ τὰ ἄλλα πράττειν ἀνέπειθεν*. Addidit Corais *οὕτως* post *πράττειν*; at, ni fallor, haec est sententia: *et reliquis quoque avibus persuasit, ut suum quaeque reposceret*. — In eo, quod legitur in fab. 200[b]: *ὅπως τὸν ὡραιότερον πάντων καταστήσῃ ἐπ' αὐτοὺς βασιλέα*, haud scio an *ἐπ' αὐτοῖς* emendandum sit. — In fab. 201 pro *τῆς ἐξ ἀμφοτέρων διαίτης* correxi: *τῆς μετ' ἀμφοτέρων διαίτης*; cf. fab. 201[b] et 202. — In fab. 207[b] vereor ut rectum sit *ὅμως πέπονθας*, sed non suppetebat probabilis emendatio. — In fab. 215 malim *ὁ καιρὸς οὐκ ἐφῆκεν* pro *ὁ κ. οὐκ ἀφῆκεν*. — In fabula Syntipae num. 223 dubium est, num verum sit *μεγίστῃ συνολκῇ καταπέπωκε*, et fortasse scribendum est: *μεγίστῃ σὺν ὁλκῇ κ.* In eadem fabula, ubi codex habet *ἀδεκάστως*, vulgatum est *ἀδικάστως*, quam Corais *ἀκριβῆ διόρθωσιν* vocat, quamquam bona

graecitas ἀλογίστως flagitaverit. Vide tamen ne auctor ἀκηδέστως scripserit; vereor enim ne ἀδικάστως plane barbarum sit ac fortasse ne Graecum quidem vocabulum. — In fab. 224 perverse adhuc legebatur: Γραῦς δὲ εἶπεν αὐτῷ· „κύων, τί φαντάζῃ; κτλ.“ Restitui sententiam ex Babrio 104, verborum distinctione sic emendata: γραῦς δὲ εἶπεν αὐτῷ κύων· „τί φαντάζῃ κτλ.“ — In fab. 234 scripsi ἐπινίκιον ᾄσας ἀπέπτατο pro ἐ. ᾄ. ἔπτατο. Nec sanum videtur quod paulo ante legitur ἠγανάκτησεν, quem locum Car. Ern. Christ. Schneiderus ex usu posterioris graecitatis p. 61 sic interpretatur: *leo suis unguibus se discerpsit, donec fessus et aegrotus procubuit.* Talis utique esse debet sententia, sed num verbo ἀγανακτεῖν, pro quo ἀπαυδᾶν vel simile aliquod exspectes, exprimi potuerit, admodum dubium est. — Fabula 240ᵇ, quae ex codice Florentino primum edita est, sic incipit in codice: Φάσις ἦλθε πᾶσι τοῖς τετραπόδοις, καύχημα κατέχουσα εἰς παίδων πλήθη. Scripsi στάσις pro φάσις, itemque suspiciosum habeo κατέχουσα, pro quo malim καταχέουσα, i. e. *diffundens.* — In fab. 252 versus quartus sic vulgabatur: πῶς νῦν μανεὶς οὐ μεστὰ δακρύων δράσεις; Metrum iambicum flagitabat ut δράσεις δακρύων corrigeretur. — In fab. 255 scripsi: καί τίς σε, ἔφη, τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν; ubi a vulgatis σε abest. — In extrema fabula interpunxi: εἶπεν οὕτως· οὐ χρή, ubi in vulg. οὕτως cum οὐ χρὴ invita sententia coniunctum est. — In fab. 257 corruptam lectionem cod. Florentini περιειλίττετο (cod. Augusteus habet περιειλεῖτο) intactam reliqui, quamquam emendatio περιηλυτεύετο haud improbabilis videbatur. Afferunt autem lexicographi exemplum verbi περιηλυτεύεσθαι ex versione Septuag. v. Ierem. 49, 3. Simili ratione in aliquot codicibus Plutarchi v. Cat. c. 13 περιήλυσιν in περιείλησιν transiit. — De verbis dubiis 257ᵇ ἀλλὰ τὴν κακὴν ὁδὸν ... ἀνατρέπω v. Io. Gottl. Schneiderum p. 190. — In fab. 258 initio necessario θῆρας ἐθήρευον pro θήρας ἐθήρευον scribendum erat; v. quod sequitur: ἐπεὶ δὲ ζῶά τινα ἐθήρευσαν. — Initio fab. 264 scribit fort. rectius Lachmannus καταλιπὼν αὐτὸν ἔφευγε. Quod autem in extrema fabula legitur τοῦτον εἰς ἐμὲ ἐξαιμάτωσας, pro quo habet cod. Flor. εἰς ἐμὲ τοῦτον ἀφαιματοῦσι, notavi obelo, cum quod in mentem venit ἐξεμάστευσας non sufficere videretur. Requiritur autem verbum quod significat *transferre* vel *derivare.* — In fab. sequenti ex Babr. num. 30 codex Athous habet in v. 7 sqq.:

ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις
εἶδε λέγοντα τἀμὰ νῦν ταλαντεύῃ·

quos ex sententia Meineckii Lachmannus ita constituit:

ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις,
„σὺ δὴ" λέγοντα „τἀμὰ νῦν ταλαντεύῃ·"

Ego faciliorem adhibens medelam εἶτεν (= εἶτα) scripsi pro εἶδεν, et deinde in v. 9. εἶδεν λέγοντα. — In fab. 266 nolui ἐὰν πείσησθε mutare in ἐὰν πεισθῆτε, veritus ne scriptorem ipsum corrigerem. — In epimythio fabulae 269 scripsi δι' ὅρκων πεισθέντα, ubi perperam habent editiones δι' ὅρκον π. In fab. ipsa verius videtur συνετίθεντο quam quod nunc legitur συνέθεντο, cf. Babr. 93, 6. — In fab. 271[b] emendavi κακῶς ἀπόλοιντο pro κ. ἀπολοῦνται, sed intacta reliqui verba antecedentia παραπλησίως ἡμαρτηκέναι τυφλῷ, quae Io. G. Schneidero p. 193 haud immerito subobscura videbantur. Si sana est lectio, in hanc, nisi fallor, sententiam accipienda est: *utinam lupus tamquam caecus aberrasset*, i.e. *me non apprehendisset.* — In fab. 274[b] quod cod. Aug. habet ἐὰν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐ κατέδομαι, poterat utrumque ferri; sed propter lectiones, quibus idem responsum in aliis codd. traditum est, Schneiderum secutus lectionem emendandam existimavi, sed ita ut pressius, quam ille fecerat, codicis vestigia sequerer; scripsi enim: κἂν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐχ ἧττον κατέδομαι. — In fab. 275[b] est quod de veritate lectionis ἀπειλουμένης (pro ἀπειλούσης) dubites. — In sequenti fab. 275[c] correxi πιστεύσας γυναικὶ, ubi adhuc legebatur πιστεύσει γ. cf. Babr. 18, 10. — In fab. 276 scripsi ἐξήτει pro ἐζήτει; v. Babr. 94, 5. — In fab. 278 scripsi: δήσας τίς σ' ἐξέθρεψε τοῦτον; ubi in vulg. σ' deest. Verba sequentia ἀλλὰ τοῦτο etc. lupus dicere videtur, quare ἔφη addidi. In epimythio subobscuro vereor ut Corais hac emendatione sententiam assecutus sit: Ὁ λόγος δηλοῖ τὸ ἐν ταῖς συμφοραῖς μὴ δεῖν γαστρίζεσθαι. — In fab. 279 vulgatam ἀφεῖλε το πρόβατον restituto ἀφείλετο correxi, id quod cum sermonis usus flagitavit, tum quod sequitur: ἀδίκως ἀφείλου τὸ ἐμόν. — In fab. 279[b] pro ἄρας ἀρνὸν corrigendum fuisse ἄρας ἀρνίον, quae sequuntur docent. — Fabulam 280 auctore Lachmanno (v. supra pag. VI) in versus iambicos digessi, sed ita ut primum versum, quem

ille sic ordinaverat *Τόποις ἐρήμοις ἐμπλανώμενος λύκος*, ex mea emendatione et faciliore et comptiore ita scriberem: *Λύκος πλανώμενός ποτ' ἐν ἐρήμοις τόποις*. — In fab. 281 cod. Flor., item ed. Nevelet. habet: *ἵνα τις αὐτῶν τιποτοῦν κυνηγήσας εἰς μέσον ἀγάγῃ*. Non sufficit quod proposuit Corais p. 154: *ἵν' ὅ τις αὐτῶν τιποτοῦν κυνηγήσῃ, εἰς μ. ἀ.* Ego certa emendatione mihi videor scripsisse: *ἵν' ὅτι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ κτλ.*, qua facta et sententia et metrum (nam exiit integer versus choliambiacus, cuius metri alia quoque vestigia in fabula supersunt) restituta sunt. — In fab. 285 ineptum *συῤῥευσάσης* ex Babr. 114, 4 in *συρισάσης* emendavi. — In fab. 291[b] sententia ipsa requirebat, ut pro *παραλόγως* scriberetur *οὐ παραλόγως*; cf. Babr. 31, 3. Sub finem autem fabulae scripsi *οἱ μὲν οὖν ἄοπλοι* pro eo quod cod. Flor. habet *οἱ μὲν γὰρ ἄοπλοι*. — In fab. 292 nolui *θνησκούσης οὐ μέλει μοι* propagare, sed scripsi *θνησκούσῃ*. De voc. autem, quod legitur in epimythio *παρακολουθῶσι*, v. Car. Ern. Chr. Schneid. in not. crit. p. 15. Corais tamen p. 384 emendandum esse proposuit *παρακολουθήσῃ* scil. *ὁ θάνατος*, quod fere paenitet non recepisse. — In fab. 294 Lachmannum secutus *ἐποφθαλμιῶν* pro *ἐποφθαλμίζων* scripsi; cf. fab. 168 ed. I. G. Schneideri. — In verbis fab. 301 *ὑφελόμενος τὸ κρέος*, pro quibus cod. Flor. habet *ἀφελόμενος μέρος τι τοῦ κρέατος*, vereor ut rectum sit *τὸ κρέας*, quod quamquam ita ferri possit, ut caro quam adolescentuli empturi erant intelligatur, tamen suspicor scribendum esse: *ὑφελόμενος τοῦ κρέως*. In eadem fabula et item in sequenti vitiosum *λήσεσθε* in *λήσετε* emendavi, ut etiam Lachmannus in exemplo ed. Schneiderianae correxit. In epimythio denique scripsi *ἡ αὐτὴ* pro *αὐτὴ*, qui in verbis obscuris hanc sententiam inesse existimem: *Eadem est periurii impietas, etiam si quis eam sibi commodam reddit*, i. e. ita impietatem committit, ut nullam commisisse videatur. — In fab. 306[b] edd. vulgatae habent: *ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μή που τὸν χαλκὸν ἐκβάλλῃ ἡ θάλαττα*. Corrigendum esse mihi videbatur: *μή που … ἐκβάλλει*, i. e. *mergus litoribus adsidet, si forte mare aes eructet*. — In fab. 316[b] scripsi *κάτω τοῦ φρέατος* pro *κάτωθεν τ. φ.*; in fab. autem 318 *συνέβη δ' οὖν* pro *συνέβη γοῦν*. In epimythio eiusdem *αὐθωρὸν πτῶμα γίνονται* vitiosum videtur et fort. scribendum: *αὐθωρὸν πτῶμα πεσοῦνται*, si quid in tali scriptore, qualis Syntipas est, divinare licet.

— In fab. 320 malui verba *καὶ ὃς οὐδὲν ἐποίει* ut spuria uncinis circumcludere quam deleto *οὖν* cum Corai scribere: *Καὶ ὡς οὐδὲν ἐποίει, δήσας κτλ.* Cum enim dominus dicat, sibi probatione asini ne opus quidem esse, qui iam ex consortio eius mores cognoverit, alienum videtur illud quoque narrari, asinum nihil laborasse et propterea pristino domino redditum esse. — In fab. 322[b], quae sermone plane barbaro ex Babrii fab. n. 111 translata est, cod. Flor. mendose habet *κυλισθέντων τῶν σπόγγων*. Emendavit Corais ad sententiam recte: *ἐμπλησθέντων τῶν σπ.*; ego vestigia codicis pressius sequens: *κλυσθέντων τῶν σπόγγων.* In verbis autem superioribus scripsi cum Car. Ern. Chr. Schneidero *ὑποζύγιον* i. e. *subiugem* pro *ὑποζυγίῳ*, quamquam verum eum assecutum esse praestare nolim. — In fab. 330 perverse legebatur *κἂν αὐτῷ μόνον ὀφθῶμεν* (a quo tandem?), quod vitium emendatione *αὐτὸ μόνον* correxi. — Non minus certum videtur quod in fab. 332 scripsi, *ἔνθεν δὴ καὶ ἔφησε τῷ ὄνῳ*, ubi cod. Flor. *ἔνθεν τι* habet. — In fab. 335 cod. Flor. pro eo, quod est in cod. Aug. *ἀφεὶς τὴν λείαν διὰ κρημνῶν ἐφέρετο*, habet: *ἀφεὶς τὴν λείαν ἀτὰρ δ. κ. ἐ.*, quod ita mutabat C. Fr. Hermannus, ut scriberet *τὴν λεωφόρον*; rectius, opinor, Corais, si quae ratio est habenda vocabuli corrupti *ἀτὰρ*, correxit *τὴν λείαν ἀταρπὸν* sive *ἀτραπόν*. — In fab. 342 scripsi Lachmanno auctore *ἐξεκόλαπτε* pro *ἐξεκόλαψε*. — In fab. 343[b] reliqui scripturam codicis Aug.: *συνέβη δ' αὐτὸν μὴ μόνον ὃ προσεδόκησε σφαλῆναι*, quamquam bona Graecitas flagitabat ut *οὗ προσεδόκησε* scriberetur. — In fab. 351 lectionem codicis Aug. *στερονοπονουμένης* mutavi in *στερνοκοπουμένης*; inferius autem ex cod. Flor. *ὠτίου* pro *ὠτὸς* recepi, quod fur non aurem, sed auriculam matris apprehendisse putandus est. Sub finem denique, ubi cod. habet *πρῶτον μὲν δέλτον*, emendavi: *πρῶτον τὴν δέλτον.* — In fab. 349[b] scripsi *ἀπεμορφώθη* pro *ἀνεμορφώθη*, ut *ἀποτυποῦν*, *ἀποζωγραφεῖν*, *ἀποπλάττειν* et similia dicuntur. — In fab. 353[b] debebam fortasse *ἐπιβοώμενος ... ἐπὶ βοηθείᾳ* pro *ἐπὶ βοήθειαν* corrigere, cum infra auctor fabulae item scripserit *ἐπιβοῶντος ἐπὶ βοηθείᾳ*. Sed non ferendum videbatur *κατὰ τὸ ἦθος*, cuius loco quod sententia requirebat *κατὰ τὸ ἔθος* restitui. — In extrema fab. 352 scripsi *μέμψαι* pro *μέμψῃ*, propterea quod cum in repetitionibus eiusdem fabulae *μέμφου* legitur, tum imperativus futuro aptius videbatur. Epimythium autem, quod in cod. Aug. et Flor. plane

absurdum est, ex Hudsoniana transferendum putavi, quamquam ne hoc quidem placet, cum fabula potius πρὸς τοὺς παρὰ καιρὸν νουθετοῦντας scripta sit. — Ad verba fabulae 367 „καὶ στερρὸς ὁ κυβερνήτης ὑπάρχων ἔφη“ adnotavit Corais: ὕποπτος ἡ γραφή. Si quid mutandum est, non dubito quin verum sit: καὶ αὐστηρὸς ὁ κυβ. κτλ. — In fab. 403 displicet quod legitur ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, nolui tamen οὕτω πικρὸν ex Babrio corrigere. Itemque incertus haereo, utrum in verbis quae sequuntur οὐκ ἂν ὑποίσω, quod facile in οὐκ αὐτὸν ὑποίσω corrigas, soloecismus librariis an ei qui fabulam ex Babrio concinnavit imputandus sit. — In fab. 405 lectio vulgata πότερον … χρήσομαι necessario coniunctivo χρήσωμαι restituto corrigenda erat. In sequenti autem fabula scripsi διελέχθη pro διετέθη auctore C. Fr. Hermanno (v. Mus. Rhen. Ritschelii et Welckeri V, p. 620), qui de huius verbi solemni in rebus Venereis usu doctam Piersoni ad Moeridem p. 131 adnotationem conferri iubet. In eiusdem fabulae epimythio invita Minerva confecto sententia flagitabat, ut αὐτοὺς ὑπ' ἐκείνων pro vulg. τούτους ὑπ' ἐκείνων scriberem. Quod autem verbum λογοθετεῖν attinet, idem quod vulgare νουθετεῖν significare existimo. — In fab. 414 quod antea vulgabatur διαβαίνων πέλαγος ἐν τύχῃ, si sententiam spectes, Corais sic recte emendavit: διαβαίνων πέλαγος, εἰ τύχοι, sed et facilius et verius erat ἣν τύχῃ scribere. — In fab. 418 vix sanum est ξένη, quamquam bis in fabella legitur, videturque utroque loco ξουθὴ ex Babrio restituendum esse. — In fab. denique 425 intactum reliqui καταναλίσκων, cum tria exempla, Neveletianum et Florentinum et Augusteum, genus masculinum habeant. Ac videtur ferri posse, si cogites homini interroganti τίς εἶ; ut naturam, ita sexum bestiolae ignotum fuisse. — Intelligo equidem etiam nunc haud pauca vitia in his fabulis inesse, sed spero fore ut iudices aequi agnoscant me haud inutilem operam post Coraim in iis emendandis collocasse.

Scribebam Monachii mense Iulio a. 1852.

Carolus Halm.

1. Ἀγαθὰ καὶ Κακά. (F. 347. C. 402.)

Ἀγαθὰ πάντα ὑπὸ τῶν κακῶν ἐδιώχθη, ὡς ἀσθενῆ ὄντα· εἰς οὐρανὸν δὲ ἀνῆλθον. Καὶ τἀγαθὰ ἠρώτησαν τὸν Δία, πῶς εἶναι δεῖ μετὰ ἀνθρώπων. Ὁ δὲ εἶπε, μὴ μετ' ἀλλήλων πάντα, ἓν δὲ καθ' ἓν τοῖς ἀνθρώποις ἐπέρχεσθαι. Διὰ τοῦτο τὰ μὲν κακὰ συνεχῆ τοῖς ἀνθρώποις, ὡς πλησίον ὄντα, ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον ἐξ οὐρανοῦ κάτεισι.

Ὁ λόγος δηλοῖ, ὅτι ἀγαθῷ μὲν οὐδεὶς ταχέως ἐπιτυγχάνει, ὑπὸ δὲ τῶν κακῶν ἕκαστος καθ' ἑκάστην πλήττεται.

2. Ἀγαλματοπώλης. (F. 128. C. 148 et p. 345. S. 99.)

Ξύλινόν τις Ἑρμῆν κατασκευάσας, προσενεγκὼν ἐπώλει. Μηδενὸς δὲ ὠνητοῦ προσιόντος, ἐκκαλέσασθαί τινας βουλόμενος ἐβόα, ὡς ἀγαθοποιὸν δαίμονα καὶ κέρδους τηρητικὸν πιπράσκει. Τῶν δὲ παρατυχόντων τινὸς εἰπόντος πρὸς αὐτόν· „ὦ οὗτος, καὶ τί τοῦτον ὄντα τοιοῦτον πωλεῖς, δέον τῶν παρ' αὐτοῦ ὠφελειῶν ἀπολαύειν;“ ἀπεκρίνατο· „ὅτι ἐγὼ μὲν ταχείας ὠφελείας τινὸς ἐπιδέομαι, αὐτὸς δὲ βραδέως εἴωθε τὰ κέρδη περιποιεῖν.“

Πρὸς ἄνδρα αἰσχροκερδῆ καὶ τὸ θεῖον περιφρονοῦντα.

3. Ἀγροῖκος καὶ Ὀνάρια. (F. 413. C. 346.)

Γεωργός τις ἐπ' ἀγροῦ γεγηρακὼς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. Οἱ δὲ ζεύξαντες ὀνάρια καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. Ὁδεύοντι δὲ χειμῶνος καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων

καὶ ζόφου γενομένου, τὰ ὀνάρια τῆς ὁδοῦ πλανηθέντα εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. Ὁ δὲ μέλλων ἤδη κατακρημνίζεσθαι „ὦ Ζεῦ," εἶπε „τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παρὰ λόγον ἀπόλλυμαι, καὶ ταῦτα οὔθ' ὑφ' ἵππων γενναίων οὔθ' ἡμιόνων ἀγαθῶν, ἀλλ' ὀναρίων εὐτελεστάτων;"

4. Ἀετός. (C. 133.)

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. Τοῦτον δέ τις ἔβαλε τοξεύσας· καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν, ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. Ὁ δὲ ἰδὼν ἔφη· „καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν."

Ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

4ᵇ. Ἄλλως. Τοξότης καὶ Ἀετός. (C. 133. F. 218.)

Τοξότης ἀετοῦ κατεστοχάζετο, καὶ βέλος ἀφεὶς εἷλε τὸν ἀετόν. Ἐπιστραφεὶς δὲ ὁ ἀετός, καὶ τὸ βέλος ἰδὼν ἐπτερωμένον τοῖς οἰκείοις πτεροῖς, ἔφη· „τὰ παρ' αὐτῶν τοῖς πολλοῖς πραγμάτων οἰκείων ἐπιβουλή."

5. Ἀετὸς καὶ Ἀλώπηξ. (S. 1. C. 1 et p. 279 sq. F. 1.)

Ἀετὸς καὶ ἀλώπηξ φιλεῖν ἀλλήλους συνθέμενοι, πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας τὴν συνήθειαν ποιούμενοι. Καὶ δὴ ὁ μὲν ἀναβὰς ἐπί τι περίμηκες δένδρον ἐνεοττοποιήσατο· ἡ δὲ εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον ἔτεκεν. Ἐξελθούσης δέ ποτε αὐτῆς ἐπὶ νομήν, ὁ ἀετὸς ἀπορῶν τροφῆς, καταπτὰς εἰς τὸν θάμνον καὶ τὰ γεννήματα ἀναρπάσας, μετὰ τῶν αὐτοῦ νεοττῶν κατεθοινήσατο. Ἡ δ' ἀλώπηξ ἐπανελθοῦσα ὡς ἔγνω τὸ πραχθέν, οὐ μᾶλλον ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπό-

ρῳ· χερσαία γὰρ οὖσα πτηνὸν διώκειν ἠδυνάτει. Διὸ πόῤῥωθεν στᾶσα, ὃ μόνον τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις ὑπολείπεται, τῷ ἐχθρῷ κατηρᾶτο. Συνέβη δ' αὐτῷ τῆς εἰς τὴν φιλίαν ἀσεβείας οὐκ εἰς μακρὰν δίκην ὑπελθεῖν· θυόντων γάρ τινων αἶγα ἐπ' ἀγροῦ, καταπτὰς ἀπὸ τοῦ βωμοῦ σπλάγχνον ἔμπυρον ἀνήνεγκεν· οὗ κομισθέντος εἰς τὴν καλιὰν, σφοδρὸς ἐμπεσὼν ἄνεμος ἐκ λεπτοῦ καὶ παλαιοῦ κάρφους λαμπρὰν φλόγα ἀνῆψε· καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοὶ (καὶ γὰρ ἦσαν ἔτι ἀπτῆνες οἱ ἀετιδεῖς) ἐπὶ τὴν γῆν κατέπεσον. Καὶ ἡ ἀλώπηξ προσδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλ' οὔν-γε τὴν ἐκ θεοῦ τιμωρίαν διακρούονται οὐδ' ὅλως.

6. Ἀετὸς καὶ Ἄνθρωπος. (F. 23. C. 147 et p. 345.)

Ἀετός ποτε ἑάλω ὑπ' ἀνθρώπου, ὅστις τὰ πτερὰ αὐτοῦ εὐθέως τίλας, εἴασεν αὐτὸν ἐν οἴκῳ σὺν ὄρνισιν· ὁ δὲ κατηφὴς ἐκ τῆς λύπης ὑπῆρχεν. Ἕτερος δέ τις τοῦτον ἐξαγοράσας, ἀνεπτέρωσε τὸν ἀετὸν αὐτίκα. Ὁ δὲ πετασθεὶς καὶ λαγωὸν ἁρπάσας, ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ. Τοῦτο ἀλώπηξ κατιδοῦσα ἐβόα· „μὴ τοῦτον σὺ ξένιζε, ἀλλὰ τὸν πρῶτον, μήπως ὁ αὐτός σε πάλιν κυνηγήσῃ, καὶ αὖθις τὰ πτερὰ τὰ σὰ κατερημώσῃ.“

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς δὲ κακοὺς ἐκκλίνειν.

7. Ἀετὸς καὶ Κάνθαρος. (S. 3. C. 2. F. 223.)

Ἀετὸς λαγωὸν ἐδίωκεν· ὁ δὲ ἐν ἐρημίᾳ τῶν βοηθησόντων ὑπάρχων, ὃν μόνον ὁ καιρὸς παρέσχε κάνθαρον ἰδὼν, τοῦτον ἱκέτευεν. Ὁ δὲ παραθαῤῥύνας αὐτὸν,

ὡς ἐγγὺς ἐλθόντα τὸν ἀετὸν ἐθεάσατο, παρεκάλει μὴ ἀπάγειν αὐτοῦ τὸν ἱκέτην· κἀκεῖνος ὑπεριδὼν τὴν σμικρότητα, ἐν ὄψει κανθάρου τὸν λαγωὸν κατεθοινήσατο. Ὁ δὲ ἀπ' ἐκείνου μνησικακῶν διετέλει, παρατηρούμενος τοῦ ἀετοῦ τὰς καλιὰς, καὶ εἴ ποτε ἐκεῖνος ἔτικτε, μετάρσιος διαιρόμενος ἐκύλιε τὰ ᾠὰ καὶ κατέασσε, μέχρις οὗ πανταχόθεν ἐλαυνόμενος ὁ ἀετὸς ἐπὶ τὸν Δία κατέφυγεν (ἐστὶ δὲ τοῦ Διὸς ἱερὸς ὁ ὄρνις), καὶ αὐτοῦ ἐδεήθη, τόπον αὐτῷ πρὸς νεοττοποιίαν ἀσφαλῆ παρασχεῖν. Τοῦ δὲ Διὸς ἐν τοῖς κόλποις αὐτοῦ τίκτειν ἐπιτρέψαντος αὐτῷ, ὁ κάνθαρος τοῦτο ἑωρακὼς, κόπρου σφαῖραν ποιήσας ἀνέπτη, καὶ γενόμενος κατὰ τοὺς τοῦ Διὸς κόλπους, ἐνταῦθα καθῆκεν. Ὁ δὲ Ζεὺς ἀποδύσασθαι τὴν κόπρον βουλόμενος, ὡς διανέστη, ἔλαθεν ἀποῤῥίψας τὰ ᾠά· ἀπ' ἐκείνου τε φασὶ, περὶ ὃν καιρὸν οἱ κάνθαροι γίνονται, τοὺς ἀετοὺς μὴ νεοττεύειν.

Ὁ λόγος δηλοῖ, μηδενὸς καταφρονεῖν, λογιζομένους, ὅτι οὐδεὶς οὕτω ἐστὶν ἀδύνατος, ὡς προπηλακισθεὶς μὴ δύνασθαι ἑαυτὸν ἐκδικῆσαι.

8. *Ἀετὸς καὶ Κολοιὸς καὶ Ποιμήν.* (S. 2. C. 203 et p. 370. F. 3.)

Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε· κολοιὸς δὲ τοῦτο θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἤθελε. Καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ τοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη· ἐμπαρέντων δ' αὐτοῦ τῶν ὀνύχων τοῖς μαλλοῖς, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως ὁ ποιμὴν, τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν συνέλαβεν αὐτόν. Καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς αὐτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ πυνθανομένων, τί ἂν εἴη τὸ ὄρνεον, ἔφη· „ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός, ὡς δὲ αὐτὸς βούλεται, ἀετός.“

Οὕτως ἡ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλα πρὸς τῷ μηδὲν ἀνύειν καὶ ἐπὶ συμφοραῖς προσκτᾶται γέλωτα.

9. Ἀηδὼν καὶ Ἱέραξ. (S. 4. C. 3 et p. 281. F. 2.)

Ἀηδὼν ἐπί τινος ὑψηλῆς δρυὸς καθημένη κατὰ τὸ σύνηθες ᾖδεν· ἱέραξ δὲ αὐτὴν θεασάμενος, ὡς ἠπόρει τροφῆς, ἐπιπτὰς συνέλαβεν· ἡ δὲ μέλλουσα ἀναιρεῖσθαι ἐδέετο μεθεῖναι αὐτὴν, λέγουσα, ὡς οὐχ ἱκανή ἐστιν ἱέρακος γαστέρα αὐτὴ πληρῶσαι· δεῖν δὲ αὐτὸν, εἰ τροφῆς ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Καὶ ὃς ὑποτυχὼν εἶπεν· „ἀλλ' ἔγωγε ἀπόπληκτος ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν ἀφεὶς τὰ μηδέπω φαινόμενα διώκοιμι.“

Ὁ λόγος δηλοῖ, ὡς οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν οἳ δι' ἐλπίδα μειζόνων [πραγμάτων] τὰ ἐν χερσὶν ὄντα προΐενται.

10. Ἀηδὼν καὶ Χελιδών. (C. 149. F. 260. B. 12.)

Ἀηδόνι συνεβούλευε χελιδὼν τοῖς ἀνθρώποις εἶναι ὁμόροφον καὶ σύνοικον, ὡς αὐτή. Ἡ δὲ εἶπεν· „οὐ θέλω τὴν λύπην τῶν παλαιῶν μου συμφορῶν μεμνῆσθαι, καὶ διὰ τοῦτο τὰς ἐρήμους οἰκῶ.“

Τὸν λυπηθέντα ἔκ τινος τύχης καὶ τὸν τόπον φεύγειν θέλειν, ἔνθα ἡ λύπη συνέβη.

11. Ἀθηναῖος χρεωφειλέτης. (S. 5. C. 289. F. 328.)

Ἀθήνησιν ἀνὴρ χρεωφειλέτης ἀπαιτούμενος ὑπὸ τοῦ δανειστοῦ τὸ χρέος, τὸ μὲν πρῶτον παρεκάλει ἀναβολὴν αὐτῷ παρασχέσθαι, ἀπορεῖν φάσκων· ὡς δ' οὐκ ἔπειθε, προσαγαγὼν ὗν, ἣν μόνην εἶχε, παρόντος αὐτοῦ ἐπώλει. Ὠνητοῦ δὲ προσελθόντος καὶ διερωτῶντος, εἰ τοκὰς ἡ ὗς εἴη, ἐκεῖνος ἔφη, μὴ μόνον αὐτὴν τίκτειν, ἀλλὰ καὶ παραδόξως· τοῖς μὲν γὰρ μυστηρίοις

θήλεα ἀποκύειν, τοῖς δὲ Παναθηναίοις ἄρσενα. Τοῦ δὲ ἐκπλαγέντος πρὸς τὸν λόγον, ὁ δανειστὴς εἶπεν· „ἀλλὰ μὴ θαύμαζε· αὕτη γάρ σοι καὶ Διονυσίοις ἐρίφους τέξεται.“

Ὁ λόγος δηλοῖ, ὅτι πολλοὶ διὰ τὸ ἴδιον κέρδος οὐκ ὀκνοῦσιν οὐδὲ τοῖς ἀδυνάτοις ψευδομαρτυρεῖν.

12. Αἰγοβοσκὸς καὶ Αἶγες. (S. 6. B. 45.)

Αἰπόλος τὰς αἶγας αὐτοῦ ἐπὶ νομὴν ἀπελάσας ὡς ἐθεᾶτο ἀγρίαις αὐτὰς ἀναμιγείσας, ἑσπέρας ἐπιλαβούσης πάσας εἰς τὸ ἑαυτοῦ σπήλαιον εἰσήλασε. Τῇ δ' ὑστεραίᾳ χειμῶνος πολλοῦ γενομένου, μὴ δυνάμενος ἐπὶ τὴν συνήθη νομὴν αὐτὰς παραγαγεῖν, ἔνδον ἔστησε μένειν, ταῖς μὲν ἰδίαις μετρίαν τροφὴν παραβάλλων πρὸς μόνον τὸ μὴ λιμώττειν, ταῖς δὲ ὀθνείαις πλείονα περισωρεύων πρὸς τὸ καὶ αὐτὰς ἐξιδιοποιήσασθαι. Παυσαμένου δὲ τοῦ χειμῶνος ἐπειδὴ πάσας ἐπὶ νομὴν ἐξήγαγεν, αἱ ἄγριαι ἐπιλαβόμεναι τῶν ὀρῶν ἔφευγον. Τοῦ δὲ ποιμένος ἀχαριστίαν αὐτῶν κατηγοροῦντος, εἰ περιττοτέρας αὐταὶ ἐπιμελείας ἐπιτυχοῦσαι καταλείπουσιν αὐτὸν, ἔφασαν ἐπιστραφεῖσαι· „ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μᾶλλον φυλαττόμεθα· εἰ γὰρ ἡμᾶς τὰς χθές σοι προσεληλυθυίας μειζόνως τῶν πάλαι σὺ προετίμησας, δῆλον ὅτι, εἰ καὶ ἕτεραί σοι μετὰ ταῦτα προσπελάσουσιν, ἐκείνας ἡμῶν προκρινεῖς.“

Ὁ λόγος δηλοῖ μὴ δεῖν τούτων προσεταιρίζεσθαι τὰς φιλίας, οἳ τῶν παλαιῶν φίλων ἡμᾶς τοὺς προσφάτους προτιμῶσι, λογιζομένους, ὅτι καὶ, κἂν ἡμῶν ἐγχρονιζόντων ἑτέροις φιλιάσωσιν, ἐκείνους προκρινοῦσιν.

12b. Ἄλλως. (F. 261. C. 150.)

Ἐν σπηλαίῳ ἀοικήτῳ αἰγοβοσκὸς ἐν χειμῶνι αἶγας ἤγαγεν. Εὗρεν δὲ ἐκεῖ ἀγρίας αἶγας καὶ τράγους, πλείο-

νας ὧν εἶχεν αὐτὸς καὶ μείζους. Τὰς ἰδίας δὲ ἀφεὶς ἐπὶ ταῖς ἀγρίαις, ταύτας ἔτρεφε τοῖς φύλλοις. Ὅτε δὲ εὐδία γέγονε, τὰς μὲν ἰδίας εὗρε τεθνεώσας ἐκ τοῦ λιμοῦ, αἱ δὲ ἄγριαι πρὸς τὸ ὄρος ἔφυγον. Ὁ δὲ αἰπόλος γελαστὸς εἰς τὸν οἶκον ἦλθε κενός.

Ὅτι οὐδαμῶς ἡμᾶς πρέπει ἀμελεῖν τῶν οἰκείων, ἐπ' ἐλπίδι κέρδους ἐξ ἀλλοτρίων γενησομένου.

13. *Αἰθίοψ.* (F. 204. C. 75.)

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο φαιδρύνειν· καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ ἔσχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

Μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὸ πρότερον.

14. *Αἴλουρος καὶ Ἀλεκτρυών.* (C. 6. F. 15. S. 16. B. 17.)

Αἴλουρος συλλαβὼν ἀλεκτρυόνα, μετ' εὐλόγου τοῦτον αἰτίας ἠβουλήθη καταφαγεῖν. Καὶ δὴ κατηγόρει αὐτοῦ, ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις, νύκτωρ κεκραγὼς καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. Τοῦ δ' ἀπολογουμένου, ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι, πάλιν ὁ αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. Τοῦ δὲ καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ᾠῶν τικτομένων, ὁ αἴλουρος εἰπών· „ἀλλ' εἰσύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ,“ τοῦτον κατεθοινήσατο.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

15. *Αἴλουρος καὶ Μύες.* (S. 80. C. 28 et p. 294. F. 67.)

Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦσαν. Αἴλουρος δὲ τοῦτο γνοὺς ἧκεν ἐνταῦθα, καὶ συλλαμβάνων ἕνα ἕκαστον κατήσθιεν. Οἱ δὲ μύες συνεχῶς ἀναλισκόμενοι κατὰ τῶν ὀπῶν ἔδυνον, καὶ ὁ αἴλουρος μηκέτι αὐτῶν ἐφικέσθαι δυνάμενος, δεῖν ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλεῖσθαι. Διόπερ ἀναβὰς ἐπί τινα πάσσαλον καὶ ἑαυτὸν ἐνθένδε ἀποκρεμάσας προσεποιεῖτο νεκρόν. Τῶν δὲ μυῶν τις παρακύψας ὡς ἐθεάσατο αὐτὸν, εἶπεν· „ἀλλ', ὦ οὗτος, σοί γε, κἂν θύλαξ γένῃ, οὐ προσελευσόμεθα."

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίσεσιν ἐξαπατῶνται.

16. *Αἴλουρος καὶ Ὄρνιθες.* (S. 7. C. 150. F. 14.)

Αἴλουρος ἀκούσας ὅτι ἔν τινι ἐπαύλει ὄρνιθες νοσοῦσι, σχηματίσας ἑαυτὸν εἰς ἰατρὸν, καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα, παρεγένετο, καὶ στὰς πρὸ τῆς ἐπαύλεως, ἐπυνθάνετο αὐτῶν πῶς ἔχοιεν· αἱ δὲ ὑποτυχοῦσαι „καλῶς," ἔφασαν, „ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς."

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν τὰ μάλιστα χρηστότητα ὑποκρίνωνται.

16b. *Ἄλλως. Ὄρνις καὶ Αἴλουρος.* (F. 157. C. p. 347. B. 121.)

Ὄρνις δήποτε κατακλιθεὶς ἠῤῥώστει· εἰς ὃν αἴλουρος προκύψας ἔφη ταῦτα· „πῶς ἔχεις, φίλε; τί δέ σοι; ἐάν τι χρήζῃς, ἀνάγγειλόν μοι, καὶ πάντα σοι παρέξω· ὅμως ἔγειρε, καὶ τεύξῃ τῆς ὑγιείας." Ἡ δὲ ἀπεκρίθη πρὸς τὸν αἴλουρον ταῦτα· „ἐὰν σὺ παρέλθῃς, ἐγὼ οὐκ ἀποθνήσκω· ζωὴν γὰρ ζήσω δορκάδος ὑπερτέραν."

Τοὺς δολίους ὑποκριτὰς, τοὺς λέγοντας φιλεῖν, ὁ μῦθος ἐλέγχει.

17. *Αἴξ καὶ Αἰπόλος.* (F. 203. C. 151. B. 3.)

Αἶγα ἀποστᾶσαν ἀγέλης ἐπανάγειν αἰπόλος ἐπειρᾶτο πρὸς τὰς λοιπάς. Ὡς δὲ φωναῖς καὶ συριγμοῖς χρώμενος οὐδὲν μᾶλλον ἤνυεν, λίθον ἀφεὶς καὶ τοῦ κέρως τυχὼν, ἐδεῖτο τῷ δεσπότῃ μὴ κατειπεῖν. Ἡ δὲ „ἀνούστατε“ εἶπεν „αἰπόλων, τὸ κέρας κεκράξεται, κἂν ἐγὼ σιωπήσω.“

Οὕτως λίαν εὐήθεις οἱ τὰ πρόδηλα κρύπτειν ἐθέλοντες.

18. *Αἴξ καὶ Ὄνος.* (F. 262. C. 153.)

Αἶγα καὶ ὄνον ἔτρεφέ τις. Ἡ δὲ αἴξ φθονήσασα τῷ ὄνῳ διὰ τὸ περισσὸν τῆς τροφῆς, ἔλεγεν, ὡς ἄπειρα κολάζῃ, ποτὲ μὲν ἀλήθων, ποτὲ δὲ ἀχθοφορῶν· καὶ συνεβούλευεν ἐπίληπτον ἑαυτὸν ποιῆσαι καὶ καταπεσεῖν ἔν τινι βόθρῳ, καὶ ἀναπαύσεως τυχεῖν. Ὁ δὲ πιστεύσας καὶ πεσὼν συνετρίβη. Ὁ δὲ δεσπότης τὸν ἰατρὸν καλέσας ᾔτει βοηθεῖν. Ὁ δὲ αἰγὸς πνεύμονα ἐγχυματίσαι ἔλεγεν αὐτῷ, καὶ τῆς ὑγείας τυχεῖν. Τὴν δὲ αἶγα θύσαντες τὸν ὄνον ἰάτρευον.

Ὅτι ὅστις καθ' ἑτέρου δόλια μηχανᾶται, ἑαυτοῦ γίνεται τῶν κακῶν ἀρχηγός.

19. *Αἴσωπος ἐν ναυπηγίῳ.* (S. 8. C. 311 et p. 404. F. 375.)

Αἴσωπός ποτε ὁ λογοποιὸς σχολὴν ἄγων εἰς ναυπήγιον εἰσῆλθε· τῶν δὲ ναυπηγῶν σκωπτόντων τε αὐτὸν καὶ ἐκκαλουμένων εἰς ἀπόκρισιν, ὁ Αἴσωπος ἔλεγε· „Τὸ παλαιὸν χάος καὶ ὕδωρ γενέσθαι· τὸν δὲ Δία βουλόμενον καὶ τὸ τῆς γῆς στοιχεῖον ἀναδεῖξαι, παραινέσαι αὐτῇ, ὅπως ἐπὶ τρὶς ἐκροφήσῃ τὴν θάλασσαν. Κἀκείνη ἀρξαμένη τὸ μὲν πρῶτον τὰ ὄρη ἐξέφηνεν, ἐκ δευτέρου

δὲ ἐκροφήσασα καὶ τὰ πεδία ἀπεγύμνωσεν· ἐὰν δὲ δόξῃ αὐτῇ καὶ τὸ τρίτον ἐκπιεῖν τὸ ὕδωρ, ἄχρηστος ὑμῖν ἡ τέχνη γενήσεται.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοὺς κρείττονας χλευάζοντες λανθάνουσι μείζονας ἑαυτοῖς τὰς ἀνίας ἐξ αὐτῶν ἐπισπώμενοι.

20. Αἴσωπος καὶ Κύων.

(C. 426. ex Aristophanis Vespis v. 1402 sqq.)

Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνος εἶπεν· „ὦ κύον, κύον,
εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.“

21. Ἀλέκτορες. (C. 145. B. 5.)

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. Καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη· ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς, μεγαλοφώνως ἐβόησε. Καὶ παρευθὺς ἀετὸς καταπτὰς ἥρπασεν αὐτόν. Ὁ δ' ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινεν.

Ὁ μῦθος δηλοῖ, ὅτι κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

21b. Ἄλλως. (C. p. 87.)

Ἀλεκτρυόνες συμπεσόντες ἀλλήλοις, ὡς νόμος εἶχεν, ἐμάχοντο. Καὶ ὁ μὲν νικηθεὶς κλίνῃ ὑποδὺς ἀπεκρύπτετο, ὁ δὲ νενικηκὼς ἐπὶ στέγους ἀρθεὶς ἀνέκραγε μέγιστον, τὴν νίκην κατάδηλον ἐξ ᾠδῆς ἐργαζόμενος. Καὶ καταπτὰς ἀετὸς τοῦτον ἁρπάζει λαβών.

Νίκης ἀσφάλεια μετριότης φρονήματος.

21c. *Ἄλλως. Ἀλέκτορες καὶ Ἀετός.* (F. 119. C. p. 343.)

Μαχομένων δήποτε τῶν ἀλεκτόρων διὰ τὴν ὄρνιν, τὸ τίς αὐτὴν ἐγγήμῃ, ὁ εἷς ἡττηθεὶς ἐκρύπτετο ἔν τινι γωνίᾳ, ὡς δειλιάσας καὶ εἰς τροπὴν χωρήσας· ὁ δὲ ἕτερος σφοδρῶς μέγα κοκκύσας, ἀνεπέτασεν ἐπάνω τῶν δωμάτων, ὡς τροπαιοῦχος κατὰ τοῦ πολεμίου, φωνῶν· „ἥττησα τὸν ἴδιον ἐχθρόν μου, τροπωσάμενος ἀντίπαλον εἰς κράτος.“ Ὡς οὖν ἐβόα τοιαῦτα ὁ ἀλέκτωρ, ἧκεν ἀετὸς καταπτὰς ἐκ τῶν ἄνω, καὶ καταλαβὼν τὸν νικητὴν ἐκεῖνον, ἤγαγεν αὐτὸν τοῖς τέκνοις παραυτίκα, βρῶμα ποιήσας τοῖς νεοττοῖς καὶ πόμα. Ὁ δὲ ἕτερος ἐλευθερίως ζήσας, ἤγετο οὕτως ἐν ἀδείᾳ τυγχάνων, λαβὼν εὔκλειαν κατὰ τοῦ πολεμίου τοῦ ἐκπορθοῦντος καὶ τροπώσαντος τοῦτον καὶ καυχωμένου, ὡς ὄντος νικηφόρου.

Ὁ λόγος πρὸς ἄνδρας θεομάχους.

22. *Ἀλεκτρυόνες καὶ Πέρδιξ.* (S. 23. C. 10 et p. 286. F. 16.)

Ἀλεκτρυόνας τις ἐπὶ τῆς οἰκίας ἔχων, ὡς περιέτυχε πέρδικι τιθασσῷ πωλουμένῳ, τοῦτον ἀγοράσας ἐκόμισεν οἴκαδε ὡς συντραφησόμενον. Τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἐκδιωκόντων, ὁ πέρδιξ ἐβαρυθύμει, νομίζων διὰ τοῦτο αὐτὸν καταφρονεῖσθαι, ὅτι ἀλλόφυλός ἐστι· μικρὸν δὲ ὕστερον ὡς ἐθεάσατο τοὺς ἀλεκτρυόνας πρὸς ἑαυτοὺς μαχομένους, καὶ οὐ πρότερον ἀποστάντας, πρὶν ἢ ἀλλήλους πατάξαι, ἔφη πρὸς ἑαυτόν· „ἀλλ᾽ ἔγωγε οὐκ ἄχθομαι ὑπὸ τούτων τυπτόμενος· ὁρῶ γὰρ αὐτοὺς οὐδὲ αὐτῶν ἀπεχομένους.“

Ὁ λόγος δηλοῖ, ὅτι ῥᾳδίως τὰς ἐκ τῶν πέλας ὕβρεις οἱ φρόνιμοι δέχονται, ὅταν ἴδωσιν αὐτοὺς μηδὲ τῶν οἰκείων ἀπεχομένους.

23. *Ἁλιεῖς.* (S. 13. C. 13 et p. 287. F. 28.)

Ἁλιεῖς σαγήνην εἷλκον· βαρείας δ᾽ αὐτῆς οὔσης, ἔχαιρον καὶ ὠρχοῦντο, πολλὴν εἶναι νομίζοντες τὴν

ἄγραν· ὡς δὲ ἑλκύσαντες ἐπὶ τὴν ἠόνα τὸν μὲν ἰχθὺν ὀλίγον εὗρον, λίθων δὲ καὶ ἄμμων μεστὴν τὴν σαγήνην, οὐ μετρίως ἐβαρυθύμουν, οὐχ οὕτω μᾶλλον ἐπὶ τῷ συμβεβηκότι δυσφοροῦντες, ὅσον ὅτι καὶ τὰ ἐναντία προσειλήφασιν. Εἷς δέ τις ἐν αὐτοῖς γηραιὸς ὢν εἶπεν· „ἀλλὰ παυσώμεθα, ὦ ἑταῖροι· χαρᾶς γὰρ ὡς ἔοικεν ἀδελφή ἐστιν ἡ λύπη· καὶ ἡμᾶς ἔδει τοσαῦτα προησθέντας πάντως τι καὶ λυπηθῆναι.“

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τοῦ βίου τὸ εὐμετάβλητον ὁρῶντας μὴ τοῖς αὐτοῖς ἀεὶ πράγμασιν ἐπαγάλλεσθαι, λογιζομένους, ὅτι ἐκ πολλῆς εὐδίας ἀνάγκη καὶ χειμῶνα γενέσθαι.

24. Ἁλιεῖς. (C. 17 et p. 289. F. 35. S. 21.)

Ἁλιεῖς, ἐξελθόντες ἐπ' ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος, ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ τοῦτον λαβόντες μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις, ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

25. Ἁλιεύς. (S. 26. C. 87. F. 241.)

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευε. Καὶ δὴ κατατείνας τὰ δίκτυα ὡς περιέλαβεν ἑκατέρωθεν τὸ ῥεῦμα, προσδήσας κάλῳ λίθον, ἔτυπτε τὸ ὕδωρ, ὅπως οἱ ἰχθύες φεύγοντες ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος αὐτὸν τοῦτο ποιοῦντα, ἐμέμφετο, ὡς τὸν ποταμὸν θολοῦντα καὶ μὴ ἐῶντα αὐτοὺς διαυγὲς ὕδωρ πίνειν· ὁ δὲ ἀπεκρίνατο· „ἀλλ' ἐὰν μὴ οὕτως ὁ ποταμὸς ταράσσηται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.“

Οὕτω καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσεις περιάγωσιν.

26. *Ἁλιεύς.* (C. 154. F. 263. B. 4.)

Ἁλιεὺς, τὸ πρὸς ἄγραν δίκτυον ἐκ τῆς θαλάσσης ἐκβαλὼν, τῶν μὲν μεγάλων ἰχθύων ἐγκρατὴς γέγονε, καὶ τούτους ἐν τῇ γῇ ἥπλωσεν· οἱ δὲ βραχύτεροι τῶν ἰχθύων διὰ τῶν τρυμαλιῶν διέδρασαν ἐν τῇ θαλάσσῃ.

Ὅτι εὔκολος ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσιν, τοὺς δὲ μεγάλους ὄντας τῇ δόξῃ σπανίως ἴδοις ἂν ἐκφεύγειν τὴν δίκην.

27. *Ἁλιεὺς αὐλῶν.* (S. 11. C. 130 et p. 332. F. 34. B. 9.)

Ἁλιεὺς αὐλητικῆς ἔμπειρος, ἀναλαβὼν τοὺς αὐλοὺς καὶ τὰ δίκτυα παρεγένετο εἰς τὴν θάλασσαν, καὶ στὰς ἐπί τινος προβλήματος πέτρας τὸ μὲν πρῶτον ᾖδε, νομίζων αὐτομάτους πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐξελεύσεσθαι· ὡς δ' αὐτοῦ ἐπὶ πολὺ διατεινομένου οὐδὲν πέρας ἠνύετο, ἀποθέμενος τοὺς αὐλοὺς ἀνείλετο τὸ ἀμφίβληστρον, καὶ βαλὼν κατὰ τοῦ ὕδατος πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δ' αὐτοὺς ἀπὸ τῶν δικτύων ἐπὶ τὴν ᾐόνα, ὡς ἐθεάσατο ἀσπαίροντας, ἔφη· „ὦ κάκιστα ζῶα, ὑμεῖς, ὅτε μὲν ηὔλουν, οὐκ ὠρχεῖσθε· νῦν δὲ, ὅτε πέπαυμαι, τοῦτο πράττετε.“

Πρὸς τοὺς παρὰ καιρόν τι πράττοντας ὁ λόγος εὔκαιρος.

27b. *Ἄλλως.* (ex Herodoto I, c. 141.)

Ἴωνες καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα κατεστράφατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους ἐς Σάρδις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἔσαν κατήκοοι. Ὁ δὲ ἀκούσας αὐτέων τὰ προΐσχοντο, ἔλεξέ σφι λόγον, ἄνδρα φὰς αὐλητὴν, ἰδόντα

ἰχθῦς ἐν τῇ θαλάσσῃ, αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν· ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβεῖν ἀμφίβληστρον καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι· ἰδόντα δὲ παλλομένους, εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς· „παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐδ' ἐμέο αὐλέοντος ἠθέλετε ἐκβαίνειν ὀρχεόμενοι.“ Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκα ἔλεξε, ὅτι δὴ οἱ Ἴωνες πρότερον, αὐτοῦ Κύρου δεηθέντος δι' ἀγγέλων ἀπίστασθαί σφεας ἀπὸ Κροίσου, οὐκ ἐπείθοντο, τότε δὲ, κατεργασμένων τῶν πρηγμάτων, ἔσαν ἕτοιμοι πείθεσθαι Κύρῳ.

28. *Ἁλιεὺς καὶ Μαινίς.* (S. 18. C. 124 et p. 326. F. 20. B. 6.)

Ἁλιεὺς καθεὶς τὸ δίκτυον ἀνήνεγκε μαινίδα. Τῆς δὲ ἱκετευούσης αὐτὸν πρὸς τὸ παρὸν μεθεῖναι αὐτὴν, ἐπειδὴ μικρὰ τυγχάνει, ὕστερον δὲ αὐξυνθεῖσαν συλλαβεῖν εἰς μείζονα ὠφέλειαν, ὁ ἁλιεὺς εἶπεν· „ἀλλ' ἔγωγε εὐηθέστατος ἂν εἴην, εἰ τὸ παρὸν κέρδος ἀφεὶς ἄδηλον ἐλπίδα διώκοιμι.“

Ὁ λόγος δηλοῖ, ὅτι αἱρετώτερόν ἐστι κέρδος τὸ παρὸν, κἂν μικρὸν ᾖ, τοῦ προσδοκωμένου, κἂν μέγα ὑπάρχῃ.

29. *Ἁλκυών.* (S. 25. C. 86. F. 240.)

Ἁλκυὼν ὄρνεόν ἐστι φιλέρημον διὰ παντὸς ἐν θαλάττῃ διαιτώμενον. Ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. Καὶ δή ποτε τίκτειν μέλλουσα παρεγένετο εἴς τι ἀκρωτήριον, καὶ θεασαμένη πέτραν ἐπὶ θαλάσσῃ ἐνεοττοποιεῖτο ἐνταῦθα. Ἐξελθούσης δ' αὐτῆς ποτε ἐπὶ νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρων πνευμάτων κυματωθεῖσαν ἐξαρθῆναι μέχρι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν τοὺς νεοττοὺς διαφθεῖραι. Καὶ

ἡ ἀλκυὼν ἐπανελθοῦσα ὡς ἔγνω τὸ γεγονὸς, εἶπεν· „ἀλλ' ἔγωγε δειλαία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη ἐπὶ ταύτην κατέφυγον, ἣ πολλῷ μοι γέγονεν ἀπιστοτέρα.“

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

30. *Ἀλώπεκες.* (C. 155. F. 264.)

Ποτὲ ἀλώπεκες ἐπὶ τὸν Μαίανδρον ποταμὸν συνηθροίσθησαν, πιεῖν ἐξ αὐτοῦ θέλουσαι· διὰ δὲ τὸ ῥοιζηδὸν φέρεσθαι τὸ ὕδωρ, ἀλλήλας προτρεπόμεναι οὐκ ἐτόλμων εἰσελθεῖν. Μιᾶς δὲ αὐτῶν διεξιούσης, ἐπὶ τῷ εὐτελίζειν τὰς λοιπὰς, καὶ δειλίαν καταγελώσης, ἑαυτὴν ὡς γενναιοτέραν προκρίνασα θαρσαλέως εἰς τὸ ὕδωρ ἐπήδησεν. Τοῦ δὲ ῥεύματος ταύτην εἰς μέσον κατασύραντος, καὶ τῶν λοιπῶν, παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἑστηκυιῶν, πρὸς αὐτὴν εἰπουσῶν „μὴ ἐάσῃς ἡμᾶς, ἀλλὰ στραφεῖσα ὑπόδειξον τὴν εἴσοδον, δι' ἧς ἀκινδύνως δυνησόμεθα πιεῖν,“ ἐκείνη ἀπαγομένη ἔλεγεν· „ἀπόκρισιν ἔχω εἰς Μίλητον, καὶ ταύτην ἐκεῖσε ἀποκομίσαι βούλομαι· ἐν δὲ τῷ ἐπανιέναι με, ὑποδείξω ὑμῖν.“

Πρὸς τοὺς κατὰ ἀλαζονείαν ἑαυτοῖς κίνδυνον ἐπιφέροντας.

31. *Ἀλώπηξ ἐξογκωθεῖσα τὴν γαστέρα.* (S. 24. C. 158.)

Ἀλώπηξ λιμώττουσα ὡς ἐθεάσατο ἔν τινι δρυὸς κοιλώματι ἄρτους καὶ κρέα ὑπό τινων ποιμένων καταλελειμμένα, ταῦτα εἰσελθοῦσα κατέφαγεν· ἐξογκωθεῖσα δὲ τὴν γαστέρα, ἐπειδὴ οὐκ ἠδύνατο ἐξελθεῖν, ἐστέναζε καὶ ὠδύρετο. Ἑτέρα δὲ ἀλώπηξ τῇδε παριοῦσα εἰσήκουσε αὐτῆς τῶν στεναγμῶν, καὶ προσελθοῦσα ἐπυνθά-

νετο τὴν αἰτίαν. Μαθοῦσα δὲ τὰ γεγενημένα, ἔφη πρὸς αὐτήν· „ἀλλὰ μενετέον σοι ἐνταῦθα, ἕως ἂν τοιαύτη γένῃ, ὁποία οὖσα εἰσῆλθες, καὶ οὕτω ῥᾳδίως ἐξελεύσῃ.“

Ὁ λόγος δηλοῖ, ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

31ᵇ. Ἄλλως. (F. 12. C. p. 350. B. 86.)

Ἀλώπηξ λιμώττουσα ἐν πήρᾳ ἐθεάσατο ἐπί τινα καλύβην βοσκοῦ κρέα καὶ ἄρτον ὑπ' αὐτοῦ καταλειφθέντα, καὶ εἰσελθοῦσα ἔφαγεν αὐτὰ ἡδέως. Ἐξογκωθείσης δὲ αὐτῆς τῆς γαστρὸς, καὶ διὰ τοῦτο μὴ δυναμένης ἐξελθεῖν τῆς καλύβης, ἔστενε καὶ ἐπωδύρετο. Ἑτέρα δὲ ἀλώπηξ διερχομένη ἤκουσεν αὐτῆς τῶν στεναγμῶν, καὶ προσελθοῦσα ἐπυνθάνετο, δι' ἣν αἰτίαν τοῦτο ποιεῖς; Μαθοῦσα δὲ τὸ γεγονὸς ἡ ἀλώπηξ ἔφη· „ἀλλὰ μένε τέως ἐνταῦθα σὺ, ἕως ἂν τοιαύτη γένῃ, ὁποία οὖσα εἰσῆλθες.“

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

32. Ἀλώπηξ καὶ Βάτος. (S. 19. C. 8 et p. 285. F. 8.)

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν ἔμελλε, βάτου ἐπελάβετο. Ξυσθεῖσα δὲ τὸ πέλμα καὶ δεινῶς διατεθεῖσα, ᾐτιᾶτο αὐτὴν, εἴ γε καταφυγοῦσα ἐπ' αὐτὴν ὡς ἐπὶ βοηθὸν χείρονι αὐτῇ ἐχρήσατο καὶ τοῦ προκειμένου. Καὶ ἡ βάτος ὑποτυχοῦσα εἶπεν· „ἀλλ' ἐσφάλης τῶν φρενῶν, ὦ αὕτη, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.“

Οὕτω καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν ὅσοι τούτοις ὡς βοηθοῖς προσφεύγουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλόν ἐστιν ἔμφυτον.

33. *Ἀλώπηξ καὶ Βότρυς.* (S. 15. C. 156. F. 5. 170. B. 19.)

Ἀλώπηξ λιμώττουσα ὡς ἐθεάσατο ἐπί τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι, καὶ οὐκ ἠδύνατο· ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· „ὄμφακές εἰσιν."

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, τῶν πραγμάτων ἐφικέσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν, τοὺς καιροὺς αἰτιῶνται.

33b. *Ἄλλως.* (C. 156.)

Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου,
πρὸς ὕψος ἧρτο, καὶ καμοῦσα πολλάκις
ἑλεῖν ἀπεῖπε· πρὸς ἑαυτὴν ταῦτ' ἔφη·
„μὴ κάμνε· ῥᾶγες ὀμφακίζουσιν μάλα."
Πρὸς τοὺς ποιοῦντας τὴν ἀνάγκην φιλοτιμίαν.

34. *Ἀλώπηξ καὶ Γέρανος.*
(C. 326. F. 397. ex Plut. Symp. Disput. I, c. 5. p. 614, E.)

Οἱ τοιαῦτα προβλήματα καθιέντες οὐδὲν ἂν τῆς Αἰσωπείου γεράνου καὶ ἀλώπεκος ἐπιεικέστεροι πρὸς κοινωνίαν φανεῖεν· ὧν ἡ μὲν ἔτνος τι λιπαρὸν κατὰ λίθου πλατείας καταχεαμένη, ἠνία ἅμα γέλωτα παρέχουσαν· ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τοῦ στόματος αὐτῆς. Ἐν μέρει τοίνυν ἡ γέρανος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγυνίδι προὔθηκε λεπτὸν ἐχούσῃ καὶ μακρὸν τράχηλον, ὥστε αὐτὴν μὲν καθιέναι τὸ στόμα ῥᾳδίως καὶ ἀπολαύειν, τὴν δὲ ἀλώπεκα, μὴ δυναμένην, κομίζεσθαι συμβολὰς πρεπούσας.

Οὕτω τοίνυν, ὅταν οἱ φιλόσοφοι παρὰ πότον εἰς λεπτὰ καὶ διαλεκτικὰ προβλήματα καταδύντες, ἐνοχλῶσι τοῖς πολλοῖς ἕπεσθαι μὴ δυναμένοις, ἐκεῖνοι δὲ πάλιν ἐπ' ᾠδάς τινας καὶ διηγήματα φλυαρώδη καὶ λόγους βαναύσους καὶ ἀγοραίους ἐμβάλωσιν ἑαυτούς, οἴχεται

τῆς συμποτικῆς κοινωνίας τὸ τέλος καὶ καθύβρισται ὁ Διόνυσος.

35. *Ἀλώπηξ καὶ Δρυτόμος.*
(S. 22. C. 127 et p. 329. F. 10. B. 50.)

Ἀλώπηξ κυνηγοὺς φεύγουσα ὡς ἐθεάσατό τινα δρυτόμον, τοῦτον ἱκέτευε κατακρύψαι αὐτήν· ὁ δ' αὐτῇ παρῄνεσεν, εἰς τὴν ἑαυτοῦ καλύβην εἰσελθοῦσαν κρυβῆναι. Μετ' οὐ πολὺ δὲ παραγενομένων τῶν κυνηγῶν καὶ τοῦ δρυτόμου πυνθανομένων, εἰ τεθέαται ἀλώπεκα τῇδε παριοῦσαν, ἐκεῖνος τῇ μὲν φωνῇ ἠρνεῖτο ἑωρακέναι, τῇ δὲ χειρὶ νεύων ἐσήμαινεν ὅπου κατεκέκρυπτο. Τῶν δὲ οὐχ οἷς ἔνευε προςσχόντων, ἀλλ' οἷς ἔλεγε πιστευσάντων, ἡ ἀλώπηξ ἰδοῦσα αὐτοὺς ἀπαλλαγέντας, ἐξελθοῦσα ἀπροσφωνητὶ ἐπορεύετο· μεμφομένου δ' αὐτὴν τοῦ δρυτόμου, εἴγε διασωθεῖσα ὑπ' αὐτοῦ οὐδὲ φωνῆς αὐτὸν ἠξίωσεν, ἔφη· „ἀλλ' ἔγωγε ηὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια τὰ ἔργα τῶν χειρῶν καὶ τοὺς τρόπους εἶχες.“

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἵτινες τὰ μὲν χρηστὰ σαφῶς ἐπαγγέλλονται, ἔργα δὲ φαῦλα δρῶσιν.

35[b]. *Ἄλλως. Ἀλώπηξ καὶ Ποιμήν.* (C. p. 70.)

Ἔλαφον διώκει λέων. Ἡ δὲ φεύγουσα ὑπεξάγει καὶ καταδύεται εἰς δρυμῶνα βαθύν. Ὁ δὲ λέων, ἐπιστὰς τῷ δρυμῷ, ἐρωτᾷ τὸν ποιμένα, εἴ που εἶδε πτήξασαν τὴν ἔλαφον. Ὁ δὲ ποιμὴν οὐκ ἔφη εἰδέναι, καὶ ὁμοῦ λέγων τὴν χεῖρα ἀνατείνας ἔδειξε τὸ χωρίον. Ὤιχετο ὁ λέων ἐπὶ τὴν δειλαίαν ἔλαφον· ἡ δὲ ἀλώπηξ πρὸς τὸν ποιμένα λέγει· „ὡς δειλὸς ἄρα καὶ πονηρὸς ἦσθα, δειλὸς μὲν πρὸς λέοντας, πονηρὸς δὲ εἰς ἐλάφους.“

36. *Ἀλώπηξ καὶ Ἐχῖνος.*

(C. 314. F. 384. ex Aristot. Rhetor. II, c. 20.)

Αἴσωπος ἐν Σάμῳ δημηγορῶν, κρινομένου δημαγωγοῦ περὶ θανάτου, ἔφη· Ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα· οὐ δυναμένην δ' ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς· ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτὴν, κατοικτείραντα εἰπεῖν, εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς· τὴν δὲ οὐκ ἐᾶν. Ἐρομένου δὲ, διὰ τί, „ὅτι οὗτοι μὲν“ φάναι „ἤδη μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα, ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα.“ — „Ἀτὰρ καὶ ὑμᾶς,“ ἔφη „ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει· πλούσιος γάρ ἐστιν· ἐὰν δὲ ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες.“

37. *Ἀλώπηξ καὶ Κροκόδειλος.* (S. 20. C. 9 et p. 285. F. 9.)

Ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος περὶ τῆς τῶν προγόνων λαμπρότητος, καὶ τὸ τελευταῖον λέγοντος, ὅτι γεγυμνασιαρχηκότων ἐστὶ πατέρων, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη· „ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἀπὸ τοῦ δέρματος φαίνῃ, ὅτι ἀπὸ πολλῶν ἐτῶν εἶ γεγυμνασμένος.“

Οὕτω καὶ τῶν ψευδολόγων ἀνθρώπων ἔλεγχός ἐστι τὰ πράγματα.

38. *Ἀλώπηξ καὶ Κύων.* (S. 41. C. 157 et p. 350. F. 18.)

Ἀλώπηξ εἰς ἀγέλην προβάτων εἰσελθοῦσα θηλαζόντων, τῶν ἀρνίων ἓν ἀναλαβομένη προσεποιεῖτο καταφιλεῖν· ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς „τί τοῦτο ποιεῖς;“ „τιθηνοῦμαι αὐτὸ, ἔφη, καὶ προσπαίζω.“ Καὶ ὁ κύων

ἔφη· „καὶ νῦν, ἂν μὴ ἀφῇς τὸ ἀρνίον, τὰ κυνῶν σοι προσοίσω.“

Πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ μωροκλέπτην ὁ λόγος εὔκαιρος.

39. Ἀλώπηξ καὶ Λέων. (F. 7. C. 5 et p. 284. S. 10.)

Ἀλώπηξ μηδέποτε θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην ὑπήντησεν αὐτῷ, τὸ μὲν πρῶτον ἰδοῦσα αὐτὸν οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἐκ δευτέρου δὲ αὐτῷ περιτυχοῦσα, ἐφοβήθη μὲν, ἀλλ' οὐχ ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ θεασαμένη αὐτὸν οὕτως κατεθάρσησεν, ὡς καὶ προσελθοῦσα αὐτῷ διαλεχθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει.

40. Ἀλώπηξ καὶ Λέων. (C. 375. F. 335.)

Ἀλώπηξ θεασαμένη ἐγκάθειρκτον λέοντα, καὶ τούτου στᾶσα ἐγγὺς, δεινῶς αὐτὸν ὕβριζεν. Ὁ δὲ λέων ἔφη πρὸς αὐτήν· „οὐ σύ με καθυβρίζεις, ἀλλ' ἡ προσπεσοῦσά μοι ἀτυχία.“

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς πολλοὶ τῶν ἐνδόξων, δυσπραγίαις περιπίπτοντες, ὑπ' εὐτελῶν ἐξουθενοῦνται.

41. Ἀλώπηξ καὶ Λέων. (C. 298. F. 210.)

Ἀλώπηξ λέοντι συνῆν ἐν ὑπηρέτου προσχήματι· καὶ ἡ μὲν ἄγρας ἐμήνυεν, ὁ δὲ ἐμπίπτων ἐλάμβανεν. Ἑκατέρῳ τοίνυν πρὸς τὴν ἀξίαν διῃρεῖτο μερίς. Ζηλοτυπήσασα δὲ ἡ ἀλώπηξ τῶν πλεόνων τὸν λέοντα, θηρᾶν ἀντὶ τοῦ μηνύειν ᾕρεῖτο. Καὶ πειρωμένη ποίμνης τι λαβεῖν, κατέστη πρώτη τοῖς θηρῶσιν εἰς θήραμα.

Ἄρχεσθαι μᾶλλον ἀσφαλῶς ἄμεινον, ἢ κρατεῖν σφαλερῶς.

42. *Ἀλώπηξ καὶ Πάρδαλις.* (S. 12. C. 159 et p. 351. F. 13.)

Ἀλώπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη· „καὶ πόσον ἐγώ σου καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποίκιλμαι;“

Ὁ λόγος δηλοῖ, ὅτι τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς διανοίας κόσμος.

42[b]. *Ἄλλως.* (C. 159. B. 133.)

Στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζώων ποικιλωτέραν δέῤῥιν. Πρὸς ἣν ἡ ἀλώπηξ εἶπεν· „ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω.“

43. *Ἀλώπηξ καὶ Πίθηκος.* (S. 14. C. 374. B. 81.)

Ἀλώπηξ καὶ πίθηκος ἐν ταὐτῷ ὁδοιποροῦντες περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ ἑκατέρων διεξιόντων, ἐπειδὴ ἐγένοντο κατά τινα τόπον, ἐνταῦθα ἀποβλέψας ἀνεστέναξεν ὁ πίθηκος· τῆς δ' ἀλώπεκος ἐρομένης τὴν αἰτίαν, ὁ πίθηκος ἐπιδείξας αὐτῇ τὰ μνήματα, ἔφη· „ἀλλ' οὐ μέλλω κλαίειν, ὁρῶν τὰς στήλας τῶν πατρικῶν μου ἀπελευθέρων καὶ δούλων;“ Κἀκείνη πρὸς αὐτὸν ἔφη· „ἀλλὰ ψεύδου ὅσα βούλει· οὐδεὶς γὰρ τούτων ἀναστάς σε ἐλέγξει.“

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅταν τοὺς ἐλέγχοντας μὴ ἔχωσι.

43[b]. *Ἄλλως.* (C. 334. F. 334.)

Ἀλώπηξ καὶ πίθηξ ἐπὶ τὸ αὐτὸ ὡδοιπόρουν. Παρερχόμενοι δὲ διὰ τινῶν μνημείων, ἔφη ὁ πίθηξ τῇ ἀλώπεκι, ὡς πάντες οἱ νεκροὶ οὗτοι ἀπελεύθεροι τῶν ἐμῶν γεννητόρων ὑπάρχουσιν. Ἡ δὲ ἀλώπηξ λέγει τῷ πί-

θηκι· „εὐκαίρως ἐψεύσω· οὐδεὶς γὰρ τῶν ἐνταῦθα ταφέντων ἀπελέγξαι σε δύναται.“

Οὗτος ὁ μῦθος παριστᾷ τὸν τοὺς ψευδολόγους ὀρθῶς διελέγχοντα, καὶ τοὺς προδήλως τὸ ψεῦδος ἀντὶ ἀληθείας προσφέροντας.

44. *Ἀλώπηξ καὶ Πίθηκος.* (S. 82. C. 29 et p. 295. F. 69.)

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ὀρχησάμενος καὶ εὐδοκιμήσας βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη· ἀλώπηξ δὲ αὐτῷ φθονήσασα ὡς ἐθεάσατο ἔν τινι παγίδι κρέας κείμενον, ἀγαγοῦσα αὐτὸν ἐνταῦθα ἔλεγεν, ὡς εὑροῦσα θησαυρὸν αὐτὴ μὲν οὐκ ἐχρήσατο, γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε, καὶ παρῄνει αὐτῷ λαβεῖν. Τοῦ δὲ ἀτημελήτως ἐπελθόντος, καὶ ὑπὸ τῆς παγίδος συλληφθέντος, αἰτιωμένου τε τὴν ἀλώπεκα ὡς ἐνεδρεύσασαν αὐτῷ, ἐκείνη ἔφη· „ὦ πίθηκε, σὺ δὲ τοιαύτην ψυχὴν ἔχων τῶν ἀλόγων ζώων βασιλεύσεις;“

Οὕτως οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες σὺν τῷ δυστυχεῖς εἶναι καὶ γέλωτα ὀφλισκάνουσι.

45. *Ἀλώπηξ καὶ Τράγος.* (S. 9. C. 4 et p. 281. F. 4.)

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ, ἐπάναγκες ἔμενε, πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα· τράγος δὲ δίψῃ συνεχόμενος ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν, ἐπυνθάνετο, εἰ καλὸν εἴη τὸ ὕδωρ· ἡ δὲ, τὴν δυστυχίαν ἀσμενισαμένη, πολὺν ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα, ὡς χρηστὸν εἴη, καὶ καταβῆναι αὐτῷ παρῄνει. Ὁ δὲ ἀμελετήτως κατῆλθε διὰ μόνην ἐπιθυμίαν, καὶ ἅμα τῷ τὴν δίψαν σβέσαι, μετὰ τῆς ἀλώπεκος ἐσκόπει τὴν ἄνοδον· καὶ ἡ ἀλώπηξ χρήσιμόν τι ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν· „εἰ γὰρ θελήσεις τοὺς ἐμπροσθίους πόδας τῷ τοίχῳ

προσερεῖσαι, ἐγκλίνας τὰ κέρατα, ἀναδραμοῦσα αὐτὴ διὰ τοῦ σοῦ νώτου καὶ σὲ ἀναβιβάσω.“ Τοῦ δὲ καὶ πρὸς τὴν δευτέραν παραίνεσιν ἑτοίμως ὑπηρετήσαντος, ἡ ἀλώπηξ ἁλομένη διὰ τῶν σκελῶν αὐτοῦ ἐπὶ τὸν νῶτον ἀνέβη, καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, ἐπὶ τὸ στόμα τοῦ φρέατος ἀνελθοῦσα ἀπηλλάττετο. Τοῦ δὲ τράγου μεμφομένου αὐτὴν, ὡς τὰς ὁμολογίας παραβαίνουσαν, ἐπιστραφεῖσα εἶπεν· „ὦ οὗτος, ἀλλ' εἰ τοσαύτας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον δὴ κατεβεβήκεις, πρὶν ἢ τὴν ἄνοδον ἐσκέψω.“

Οὕτω καὶ τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐπιχειρεῖν.

45ᵇ. *Ἄλλως.* (C. p. 6.)

Τράγος, ἐν θέρει σφοδρῶς διψήσας, κατῆλθεν εἰς βαθύκρημνον ὕδωρ πιεῖν. Πιὼν δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. Ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη· „ὦ ἀνόητε, εἰ τόσας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον οὐκ ἂν κατέβης, ἢ μὴ τὴν ἄνοδον ἐσκέψω.“

Ὅτι δεῖ πρότερον προσκοποῦντα τὰ τέλη τῶν πραγμάτων, οὕτω ποιεῖσθαι (ποιεῖν?).

46. *Ἀλώπηξ κόλουρος.* (S. 17. C. 7 et p. 284. F. 6.)

Ἀλώπηξ ὑπό τινος παγίδος τὴν οὐρὰν ἀποκοπεῖσα, ἐπειδὴ δι' αἰσχύνην ἀβίωτον ἡγεῖτο τὸν βίον ἔχειν, ἔγνω δεῖν καὶ τὰς ἄλλας ἀλώπεκας εἰς τὸ αὐτὸ προσαγαγεῖν, ἵνα τῷ κοινῷ πάθει τὸ ἴδιον ἐλάττωμα συγκρύψῃ. Καὶ δὴ ἁπάσας ἀθροίσασα παρῄνει αὐταῖς τὰς οὐρὰς ἀποκόπτειν, λέγουσα, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο, ἀλλὰ καὶ περισσόν τι αὐταῖς βάρος προσήρτηται. Τούτων δέ τις ὑποτυχοῦσα ἔφη· „ὦ αὕτη, ἀλλ' εἰ μή σοι τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευσας.“

Ὁ λόγος πρὸς ἐκείνους, οἳ τὰς συμβουλίας ποιοῦνται τοῖς πέλας οὐ δι' εὔνοιαν, ἀλλὰ διὰ τὸ ἑαυτοῖς συμφέρον.

47. Ἀλώπηξ πρὸς μορμολύκειον. (S. 27.)

Ἀλώπηξ εἰσελθοῦσα εἰς πλάστου ἐργαστήριον, καὶ ἕκαστον τῶν ἐνόντων διερευνῶσα ὡς περιέτυχε τραγῳδῶν προσώπῳ, τοῦτο ἐπάρασα εἶπεν· „οἵα κεφαλὴ ἐγκέφαλον οὐκ ἔχει."

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα μεγαλοπρεπῆ μὲν σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον.

47b. Ἄλλως. (C. 11 et p. 286. F. 11.)

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη· „ὢ οἵα κεφαλή, καὶ ἐγκέφαλον οὐκ ἔχει."

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

48. Ἀνδροφόνος. (S. 32. C. 160 et p. 351. F. 29.)

Ἄνθρωπόν τις ἀποκτείνας ὑπὸ τῶν αὐτοῦ συγγενῶν ἐδιώκετο. Γενόμενος δὲ κατὰ τὸν Νεῖλον ποταμόν, λύκου αὐτῷ ἀπαντήσαντος, φοβηθεὶς ἀνέβη ἐπί τι δένδρον τῷ ποταμῷ παρακείμενον, κἀκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθα ἔχιν κατ' αὐτοῦ ἐρχόμενον, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ἐν δὲ τούτῳ ὑποδεξάμενος αὐτὸν κροκόδειλος κατεθοινήσατο.

Ὁ λόγος δηλοῖ, ὅτι τοῖς ἐναγέσι τῶν ἀνθρώπων οὔτε γῆς οὔτε ἀέρος οὔτε ὕδατος στοιχεῖον ἀσφαλές ἐστιν.

49. Ἀνὴρ ἀδύνατα ἐπαγγελλόμενος. (S. 34. C. 15 et p. 288. F. 31.)

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος, ἐπειδὴ παρὰ τῶν ἰατρῶν ἀπηλπίσθη, τοῖς θεοῖς ηὔχετο ἑκα-

τόμβην ποιῆσαι, ἐπαγγειλάμενος καὶ ἀναθήματα καθιερώσειν, ἐὰν ἐξαναστῇ. Τῆς δὲ γυναικὸς, ἐτύγχανε γὰρ αὐτὴ παρεστῶσα, πυνθανομένης „καὶ πόθεν αὐτὰ ἀποδώσεις;“ ἔφη· „νομίζεις γάρ με ἐξαναστήσεσθαι, ἵνα καὶ ταῦτα οἱ θεοὶ ἀπαιτήσωσι;“

Ὁ λόγος δηλοῖ, ὅτι ταῦτα ῥαδίως οἱ ἄνθρωποι κατεπαγγέλλονται, ἃ τελέσειν ἔργῳ οὐ προσδοκῶσι.

50. Ἀνὴρ Ἀθηναῖος καὶ Θηβαῖος. (B. 15.)

Ἀνὴρ Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
κοινῶς ὁδεύων, ὥσπερ εἰκὸς, ὡμίλει·
ῥέων δ' ὁ μῦθος ἦλθε μέχρις ἡρώων,
μακρὴ μὲν ἄλλως ῥῆσις οὐδ' ἀναγκαίη.
τέλος δ' ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
ὁ δ' ἐξ Ἀθηνῶν ἔλεγεν ὡς πολὺ κρείσσων
Θησεὺς γένοιτο, καὶ τύχης ὁ μὲν θείης
ὄντως λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
λέγων δ' ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ·
ὁ δ' ἄλλος, ὡς Βοιωτὸς, οὐκ ἔχων ἴσην
λόγοις ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ·
„πέπαυσο· νικᾷς. τοιγαροῦν χολωθείη
Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις.“

Ὅτι οὐ δεῖ τοὺς μεγιστᾶνας κινεῖν εἰς ὀργὴν κατὰ τῶν ὑπεξουσίων. [Εἰς ματαιολογίας καὶ ἔριδας.]

51. Ἀνὴρ, Ἵππος καὶ Πῶλος. (C. 383. F. 343.)

Ἀνήρ τις ἐπωχεῖτο θηλείᾳ τινὶ ἵππῳ ἐγκύῳ ὑπαρχούσῃ, καὶ ὁδοιποροῦντος αὐτοῦ πῶλον ἡ ἵππος ἀπέτεκεν. Ὁ δὲ πῶλος κατόπιν αὐτῆς εὐθὺς πορευόμενος, καὶ ταχέως ἰλιγγιάσας, πρὸς τὸν τῆς ἰδίας μητρὸς ἐπιβάτην ἔλεγεν· „ἰδοὺ, ὁρᾷς με βραχύτατον καὶ πρὸς πορείαν ἀδύνατον· γίνωσκε τοίνυν, ὡς εἰ ἐνταῦθα

ἐγκαταλίπῃς με, αὔθωρον διαφθείρομαι. Εἰ δὲ ἐντεῦθεν ἄρῃς με, καὶ ἀπαγάγῃς ἐν τόπῳ, καὶ ἀνατραφῆναι παρασκευάσῃς, οὕτως αὐξυνθεὶς ἐν ὑστέρῳ ἐποχεῖσθαί μοι ποιήσω σε.“

Ὁ μῦθος δηλοῖ, ὡς ἐκείνους χρὴ εὐεργετεῖν, ὑφ' ὧν καὶ ἡ ἀντάμειψις τῆς εὐποιίας ἐλπίζεται.

52. Ἀνὴρ καὶ Γυνή. (S. 96. C. 93. F. 246.)

Ἔχων τις γυναῖκα πρὸς πάντας τοὺς κατ' οἶκον λίαν τὸ ἦθος ἀργαλέαν ἠβουλήθη γνῶναι, εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας ὁμοίως διάκειται· ὅθεν μετὰ προφάσεως εὐλόγου πρὸς τὸν πατέρα αὐτὴν ἔπεμψε. Μετὰ δὲ ὀλίγας ἡμέρας ἀνελθούσης αὐτῆς ἐπυνθάνετο, πῶς αὐτὴν οἱ οἰκεῖοι προσεδέξαντο; Τῆς δὲ εἰπούσης· „οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο,“ ἔφη πρὸς αὐτήν· „ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπήχθου, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων, οἷς πᾶσαν τὴν ἡμέραν συνδιέτριβες;“

Οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα καὶ ἐκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζονται.

53. Ἀνὴρ καὶ Κύκλωψ. (C. 384. F. 344.)

Ἀνήρ τις τῶν εὐλαβῶν τυγχάνων [τάχα], καὶ τοῖς πρακτέοις σεμνὸς, ἐπὶ χρόνον ἱκανὸν εὐμαρῶς τοῖς ἰδίοις παισὶ συμβιοτεύων, μετὰ ταῦτα ἐνδείᾳ περιπίπτει ἐσχάτῃ, καὶ τὴν ψυχὴν καιρίως ἀλγῶν, ἐβλασφήμει τὸ θεῖον, καὶ ἑαυτὸν ἀνελεῖν ἀπηναγκάζετο. Λαβὼν οὖν σπάθην, ἐπί τινα τῶν ἐρημικῶν τόπων ἐξῄει, θανεῖν μᾶλλον αἱρετισάμενος, ἤπερ κακῶς ζῆν. Πορευόμενος δὲ λάκκον τινὰ βαθύτατον ἔτυχεν εὑρηκὼς, ἐν ᾧ χρυσίον οὐκ ὀλίγον παρά τινος τῶν γιγανταίων ἀπετέθειτο, ᾧ Κύκλωψ τὸ ὄνομα. Ἰδὼν δὲ ὁ [δῆθεν]

εὐλαβὴς ἀνὴρ τὸ χρυσίον, φόβου εὐθὺς καὶ χαρᾶς ἀνάπλεως γίνεται, καὶ ῥίπτει μὲν τῆς χειρὸς τὸ ξίφος, αἴρει δὲ τὸ χρυσίον ἐκεῖθεν, καὶ ἄσμενος ἐπὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτοῦ ἐπανέρχεται. Εἶτα ὁ Κύκλωψ ἐπὶ τὸν λάκκον ἐλθὼν, καὶ τὸ μὲν χρυσίον μὴ εὑρηκὼς, ἀντ' αὐτοῦ δὲ κείμενον ἐκεῖσε τὸ ξίφος ἑωρακὼς, αὐτίκα τοῦτο σπασάμενος ἑαυτὸν διεχειρίσατο.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς τοῖς σκαιοῖς ἀνδράσιν ἀκολούθως ἐπισυμβαίνει τὰ φαῦλα· τοῖς δὲ ἀγαθοῖς καὶ εὐλαβέσι τὰ ἀγαθὰ ταμιεύεται.

54. Ἀνὴρ καὶ Μοιχός. (B. 116.)

Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως·
γυνὴ δ' ἀκούει τοῦδε, κἀξαναστᾶσα
θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα
λαμπρᾶς σελήνης ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι,
κάτω μελάθρων ἦλθε, καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.
ἀνὴρ δὲ ταύτης ἐξανίσταται' ἐξαίφνης,
ζητῶν ὅπουστί, κοὐκ ἰδὼν δόμων εἴσω
ἀμηχανῶν τε καὐτὸς ἦλθεν εἰς οἶμον·
καὶ τῇ συνεύνῳ φησί· „μηδὲν ἐκπλήσσου,
τὸν παῖδα δ' ἡμῶν πεῖσον εἰς δόμους εὕδειν.“
ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,
ἄμφω θελόντων δρᾶν τι, χἤδ' ἐραθύμει.
Τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακόν ἐστι χαίρειν, ὅταν ἔχῃ τις ἐκτῖσαι.

55. Ἀνὴρ κακοπράγμων. (S. 36. C. 16 et p. 288. F. 32.)

Ἀνὴρ κακοπράγμων συνορισάμενος πρός τινα ψευδὲς ἐπιδείξειν τὸ ἐν Δελφοῖς μαντεῖον, ὡς ἐνέστη ἡ προθεσμία, λαβὼν στρουθίον εἰς τὴν χεῖρα, καὶ τοῦτο

τῷ ἱματίῳ σκεπάσας, ἧκεν εἰς τὸ ἱερὸν, καὶ στὰς ἄντικρυς ἐπηρώτα, πότερόν τι ἔμπνουν ἔχει μετὰ χεῖρας ἢ ἄπνουν; βουλόμενος, ἐὰν μὲν ἄψυχον εἴπῃ, ζῶν τὸ στρουθίον ἐπιδεῖξαι, ἐὰν δὲ ἔμπνουν, ἀποπνίξας προσενεγκεῖν. Καὶ ὁ θεὸς συνεὶς αὐτοῦ τὴν κακοτεχνίαν εἶπεν· „ἀλλ' ὦ οὗτος, πέπαυσο· ἐν σοὶ γάρ ἐστι, τοῦτο ὃ ἔχεις ἢ νεκρὸν εἶναι ἢ ἔμψυχον."

Ὁ λόγος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαρεγχείρητόν ἐστι.

56. Ἀνὴρ μεσαιπόλιος καὶ ἑταῖραι.
(S. 31. C. 162 et p. 352. F. 199. B. 22.)

Ἀνὴρ μεσαιπόλιος δύο ἐρωμένας εἶχεν, ὧν ἡ μὲν νέα, ἡ δὲ πρεσβῦτις. Καὶ ἡ μὲν προβεβηκυῖα αἰδουμένη νεωτέρῳ αὐτῆς πλησιάζειν, διετέλει, εἴ ποτε πρὸς αὐτὴν παρεγένετο, τὰς μελαίνας αὐτοῦ τρίχας περιαιρουμένη· ἡ δὲ νεωτέρα ὑποστελλομένη γέροντα ἐραστὴν ἔχειν, τὰς πολιὰς αὐτοῦ ἀπέσπα. Καὶ οὕτω συνέβη ὑπὸ ἀμφοτέρων αὐτὸν περιτιλλόμενον φαλακρὸν γενέσθαι.

Οὕτω πανταχοῦ τὸ ἀνώμαλον ἐπιβλαβές ἐστι.

56^{b}. Ἄλλως. (C. 162.)

Ἀνήρ τις, μέσην ἔχων ἥβην, δύο ἔσχεν ἑταίρας, μίαν μὲν γραῦν, τὴν δὲ ἑτέραν νέαν. Τούτῳ ἡ μὲν γραῦς τὰς μελαίνας τρίχας ἔτιλλεν, ὡς γέροντα τοῦτον θέλουσα, ἡ δὲ νέα τὰς πολιάς· ἕως αὐτὸν φαλακρὸν ἐποίησαν καὶ ὄνειδος ἁπάντων.

Ὅτι ἐλεεινός ἐστιν ὃς εἰς γυναῖκας ἐμπίπτει.

57. Ἀνὴρ πηρός. (S. 37. C. 161 et p. 351. F. 17.)

Ἀνὴρ πηρὸς εἰώθει πᾶν τὸ ἐπιτιθέμενον εἰς τὰς χεῖρας αὐτῷ ζῷον ἐφαπτόμενος λέγειν, ὁποῖόν τι ἐστι. Καὶ δή ποτε λυκιδίου αὐτῷ ἐπιδοθέντος, ψηλαφήσας

καὶ ἀμφιγνοῶν εἶπεν· „οὐκ οἶδα, πότερον λύκου εἴη ἢ ἀλώπεκος ἢ τοιούτου τινὸς ζώου γέννημα· τοῦτο μέντοι σαφῶς ἐπίσταμαι, ὅτι οὐκ ἐπιτήδειον τοῦτο τὸ ζῶον προβάτων ποίμνῃ συνιέναι.“

Οὕτω τῶν πονηρῶν ἡ διάθεσις πολλάκις καὶ ἀπὸ τοῦ σώματος καταφαίνεται.

58. *Ἀνὴρ φέναξ.* (S. 28. C. 18 et p. 289. F. 36.)

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος ηὔξατο τοῖς θεοῖς ἑκατόμβην τελέσαι, εἰ περισώσειαν αὐτόν· οἱ δὲ ἀπόπειραν αὐτοῦ ποιήσασθαι βουλόμενοι, ῥᾷσαι τάχιστα αὐτὸν παρεσκεύασαν. Κἀκεῖνος ἐξαναστὰς ἐπειδὴ ἀληθινῶν βοῶν ἠπόρει, στεατίνους ἑκατὸν πλάσας ἐπί τινος βωμοῦ κατέκαυσεν εἰπών· „ἀπέχετε τὴν εὐχήν, ὦ δαίμονες.“ Οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἐν μέρει ἀντιβουκολῆσαι, ὄναρ αὐτῷ ἔπεμψαν, παραινοῦντες ἐλθεῖν εἰς τὸν αἰγιαλόν· ἐκεῖ γὰρ εὑρήσειν ἀττικὰς χιλίας. Καὶ ὃς περιχαρὴς γενόμενος, δρομαῖος ἧκεν ἐπὶ τὴν ἠόνα, ἔνθα δὴ λῃσταῖς περιτυχὼν ἀπήχθη, καὶ ὑπ' αὐτῶν πωλούμενος εὗρε δραχμὰς χιλίας.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον.

59. *Ἀνθρακεὺς καὶ Γναφεύς.* (S. 29. C. 12 et p. 286. F. 27.)

Ἀνθρακεὺς ἐπί τινος οἰκίας ἐργαζόμενος καὶ θεασάμενος γναφέα αὐτῷ παροικισθέντα, προσελθὼν παρεκάλει αὐτόν, ὅπως σύνοικος αὐτῷ γένηται, διεξιὼν ὡς οἰκειότεροι ἀλλήλοις ἔσονται καὶ λυσιτελέστεροι [διὰ] μίαν ἔπαυλιν οἰκοῦντες. Καὶ ὁ γναφεὺς ὑποτυχὼν ἔφη πρὸς αὐτόν· „ἀλλ' ἔμοιγε παντελῶς τοῦτό ἐστιν ἀδύνατον· ὃ γὰρ ἐγὼ λευκανῶ, σὺ ἀσβολήσεις.“

Ὁ λόγος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητόν ἐστι.

60. *Ἄνθρωπος ἀριθμῶν τὰ κύματα.*
(C. 333. F. 403. ex Luc. Hermot. c. 84.)

Αἴσωπος ἔφη, ἄνθρωπόν τινα ἐπὶ τῇ ἠϊόνι καθεζόμενον ἐπὶ τὴν κυματωγὴν ἀριθμεῖν τὰ κύματα, σφαλέντα δὲ ἄχθεσθαι καὶ ἀνιᾶσθαι, ἄχρι δὴ τὴν κερδὼ παραστᾶσαν εἰπεῖν αὐτῷ· „τί, ὦ γενναῖε, ἀνιᾷ τῶν παρελθόντων ἕνεκα, δέον τὰ ἐντεῦθεν ἀρξάμενον ἀριθμεῖν, ἀμελήσαντα ἐκείνων;“

61. *Ἄνθρωπος καὶ Ἀλώπηξ.* (F. 265. C. 163. B. 11.)

Ἀλώπεκά τις ἐχθρὰν ἔχων, ὡς βλάπτουσαν αὐτὸν κρατήσας, καὶ θέλων ἐπὶ πολὺ τιμωρήσασθαι, στυππεῖα ἐλαίῳ βεβρεγμένα τῇ οὐρᾷ προσδήσας ὑφῆψε. Ταύτην δὲ δαίμων εἰς τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει· ἦν δὲ καιρὸς ἀμητοῦ. Ὁ δὲ ἠκολούθει θρηνῶν μηδὲν θερίσας.

Ὅτι πρᾷον εἶναι χρὴ, καὶ μὴ ἀμέτρως θυμοῦσθαι· ἐξ ὀργῆς γὰρ πολλάκις τυγχάνει βλάβην γίνεσθαι μεγάλην τοῖς δυσοργήτοις.

61b. *Ἄλλως. Γεωργὸς καὶ Ἀλώπηξ.* (C. 304. F. 221.)

Γεωργῷ πονηρῷ φθόνον ἐνεποίει τὸ τοῦ γείτονος αὐξανόμενον λήϊον, καὶ διαφθείρειν τοὺς ἐκείνου πόνους ἐζήτει. Καὶ θηράσας ἀλώπεκα, προσάψας δαλὸν, πρὸς τὸ τοῦ γείτονος ἀφίησι λήϊον. Ἡ δὲ καθ' ἧς ἀφεῖτο μὴ παριοῦσα, βουλομένου τοῦ δαίμονος τὸ τοῦ πέμψαντος ἐνέπρησεν λήϊον.

Πονηροὶ γείτονες πρῶτοι τῆς ἑτέρων μετέχουσι βλάβης.

62. *Ἄνθρωπος καὶ Κύων.* (C. 129 et p. 331 sq. F. 22. B. 42.)

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτῷ καὶ οἰκείων. Ὁ δὲ κύων αὐτοῦ ἄλ-

λον κύνα ἐκάλει, λέγων· „ὦ φίλε, δεῦρο συνδείπνησόν μοι.“ Ὁ δὲ προσελθὼν χαίρων ἵστατο, βλέπων τὸ μέγα δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ· „βαβαὶ, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη· τραφήσομαί τε γὰρ, καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῇ γε πεινᾶσαι.“ Ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος, ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐτοῦ, ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. Ὁ δὲ κατιὼν ἀπῄει μεγάλως κράζων. Τῶν τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ συναντώντων, ἐπηρώτα· „πῶς ἐδείπνησας, φίλος;“ Ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· „ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν, ὅθεν ἐξῆλθον, οἶδα.“

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

63. Ἄνθρωπος καὶ Λέων συνοδεύοντες.
(F. 169. C. 219 et p. 374.)

Ποτὲ συνώδευσε λέων ἀνθρώπῳ. Ἐκαυχῶντο οὖν πρὸς ἀλλήλους τοῖς λόγοις. Εὗρον δὲ ἐν τῇ ὁδῷ πετρίνην στήλην ὁμοίαν ἀνδρὶ, ἑτέραν στήλην λέοντος συμπνίγουσαν. Καὶ ὁ ἄνθρωπος ὑποδείξας πρὸς αὐτὴν, ταῦτα ἔφη· „ἴδε πῶς ἐσμεν κρείττονες ὑμῶν πάντων, καὶ ῥωμαλέοι ὑπὲρ ἅπαν θηρίον.“ Ὑπολαβὼν δὲ ὁ λέων ἔφη· „ὑφ' ὑμῶν εἰσιν οὕτω ταῦτα γινόμενα καὶ πραττόμενα· εἰ γὰρ ᾔδεσαν λέοντες γλύφειν λίθους, πολλοὺς ἂν εἶδες ὑποκάτω λεόντων.“

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ καυχώμενοι πειρῶνται ἐν λόγοις ἑαυτοὺς ἐπιφημίζειν, καίπερ μὴ ὄντες τοιοῦτοι.

63ᵇ. *Ἄλλως.* (C. 219.)

Εἰς ἔριν ἀλλήλοις ἀνήρ τε καὶ λέων προῆλθον· καὶ ὁ μὲν ἀνὴρ τὸ τῶν ἀνθρώπων κρεῖττον ἀπέφηνε γένος, ὁ δὲ τοῖς λέουσιν ἐδίδου τὸ πλέον. Ἁμιλλωμένων δὲ περὶ τοῦ κρείττονος, πίστιν ὁ ἀνὴρ ἐξ εἰκόνος ἐλάμβανεν, ἐν ᾗ λέων ἐγέγλυπτο ἐξ ἀνδρὸς ἁλισκόμενος. Καὶ πρὸς ἐκεῖνον ὁ λέων· „εἰ καὶ παρ' ἡμῖν ἦσαν οἱ γλύφοντες, πλείους ἂν εἶδες ἑαλωκότας ἐκ λεόντων ἀνθρώπους ἢ παρ' ἀνθρώπων λέοντας.“

Ὁ τοῖς ἴσοις δικαίως χρώμενος οὐκ ἀπορήσει τῆς νίκης.

64. *Ἄνθρωπος καὶ Σάτυρος.* (S. 35. C. 126. F. 26.)

Ἄνθρωπόν ποτε λέγεται πρὸς Σάτυρον φιλίαν σπείσασθαι. Καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου ὁ ἄνθρωπος τὰς χεῖρας τῷ στόματι ἐπέπνει. Τοῦ δὲ Σατύρου τὴν αἰτίαν ἐρομένου, δι' ἣν τοῦτο πράττει, ἔλεγεν, ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος. Ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος θερμοῦ σφόδρα ὄντος, ὁ ἄνθρωπος ἀναιρούμενος κατὰ μικρὸν τῷ στόματι προσέφερε καὶ ἐφύσα· πυνθανομένου δὲ πάλιν τοῦ Σατύρου, τί τοῦτο ποιεῖ; ἔφασκε καταψύχειν τὸ ἔδεσμα, ἐπεὶ λίαν θερμόν ἐστι. Κἀκεῖνος ἔφη πρὸς αὐτόν· „ἀλλ' ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὦ οὗτος, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξιεῖς.“

Ἀτὰρ οὖν καὶ ἡμᾶς περιφεύγειν δεῖ τὴν φιλίαν ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

65. *Ἄνθρωπος καὶ Τέττιξ.* (C. 344. F. 411.)

Ἀνήρ τις, ἀκρίδας συλλέγων καὶ ἀποκτιννὺς, εἷλε καὶ τέττιγα. Ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· „ἄνθρωπε, μή με μάτην ἀνέλῃς· ἐγὼ

γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ· τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους· φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις." Κἀκεῖνος, ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι.

65b. *Ἄλλως. Τέττιξ καὶ ἀνήρ.* (C. 385.)

Τέττιξ, ἄνδρα τινὰ θεασάμενος κατασχεῖν αὐτὸν μηχανώμενον, ἔφη πρὸς αὐτόν· „ἐκείνοις τοῖς ὀρνέοις ἐπέρχου, παρ' ὧν σοι καὶ ὄφελός τι προσγενήσεται· ἐμὲ γὰρ εἰ κατάσχῃς, οὐδὲν ἐξ ἐμοῦ τὸ παράπαν κερδανεῖς."

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἀχρήστων καὶ ἀνοήτων ἐφίεσθαι.

66. *Ἄνθρωπος καταθραύσας ἄγαλμα.* (C. 128 et p. 330. F. 21. B. 119.)

Ἄνθρωπός τις, ξύλινον ἔχων θεὸν, πένης ὢν καθικέτευε τοῦ ἀγαθοποιῆσαι. Ὡς οὖν ταῦτ' ἔπραττε, καὶ μᾶλλον ἐν πενίᾳ διῆγε, θυμωθεὶς ἐκ τοῦ σκέλους ἄρας αὐτὸν τῷ τοίχῳ προσέκρουσε. Τῆς δὲ κεφαλῆς αὐτοῦ παραχρῆμα κλασθείσης, ἔῤῥευσε χρυσὸς ἐξ αὐτῆς, ὃν συναγαγὼν ὁ ἄνθρωπος ἐβόα· „στρεβλὸς τυγχάνεις, ὡς οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ οὐδὲν ὠφελησάς με· τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ὠφελήσεις σαυτὸν, πονηρὸν ἄνδρα τιμῶν, αὐτὸν δὲ τύπτων πλέον ὠφελήσεις.

67. *Ἄνθρωπος λέοντα χρυσοῦν εὑρών.* (S. 71. C. 216. F. 295.)

Δειλὸς φιλάργυρος λέοντα χρυσοῦν εὑρὼν ἔλεγεν· Οὐκ οἶδα τίς γένωμαι ἐν τοῖς παροῦσιν· ἐγὼ ἐκβέβλημαι τῶν φρενῶν, καὶ τί πράττειν οὐκ ἔχω· μερίζει με φιλοχρηματία καὶ τῆς φύσεως ἡ δειλία. Ποία γὰρ τύχη ἢ ποῖος δαίμων εἰργάσατο χρυσοῦν λέοντα; Ἡ μὲν γὰρ

ἐμὴ ψυχὴ πρὸς τὰ παρόντα ἑαυτῇ πολεμεῖ· ἀγαπᾷ μὲν τὸν χρυσὸν, δέδοικε δὲ τοῦ χρυσοῦ τὴν ἐργασίαν· ἅπτεσθαι μὲν ἐλαύνει ὁ πόθος, ἀπέχεσθαι δὲ ὁ τρόπος. Ὢ τύχης διδούσης καὶ μὴ λαμβάνεσθαι συγχωρούσης! ὢ θησαυρὸς ἡδονὴν μὴ ἔχων! ὢ χάρις δαίμονος ἄχαρις γενομένη! Τί οὖν; ποίῳ τρόπῳ χρήσωμαι; ἐπὶ ποίαν ἔλθω μηχανήν; ἄπειμι τοὺς οἰκέτας δεῦρο κομίσων, λαβεῖν ὀφείλοντας τῇ πολυπληθεῖ συμμαχίᾳ· κἀγὼ πόῤῥω ἔσομαι θεατής.

Ὁ λόγος ἁρμόζει πρός τινα πλούσιον, μὴ τολμῶντα προσψαῦσαι καὶ χρήσασθαι τῷ πλούτῳ.

68. *Ἄραψ καὶ Κάμηλος.* (B. 8.)

Ἄραψ κάμηλον ἀχθίσας ἐπηρώτα,
πότερ' ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν
αἱροῖτο. χὠ κάμηλος, οὐκ ἄτερ μούσης,
εἶφ'· „ἡ γὰρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη;"

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας διεστραμμένους τῆς εὐθείας ὁδοῦ ἐκκλίνοντας.

69. *Ἄρκτος καὶ Ἀλώπηξ.* (C. 165. F. 25. B. 14.)

Ἄρκτος τίς ποτε μεγάλως ἐκαυχᾶτο, ὡς φιλανθρωπότατον πάντων ἐστὶ τῶν ζώων· φασὶ γὰρ ἄρκτον νεκρὸν μηδὲν βιβρώσκειν. Ἡ δὲ ἀλώπηξ ἀκούουσα ταῦτα ἐμειδίασε, καὶ πρὸς αὐτὴν ἀντέφη· „εἴθε τοὺς νεκροὺς ἤσθιες καὶ μὴ τοὺς ζῶντας."

Ὁ μῦθος τοὺς πλεονέκτας καὶ ἐν ὑποκρίσει βιοῦντας ἐλέγχει.

70. *Ἀρότης καὶ Λύκος.* (S. 38.)

Ἀρότης λύσας τὸ ζεῦγος ἐπὶ πότον ἀπήγαγε· λύκος δὲ λιμώττων καὶ τροφὴν ζητῶν ὡς περιέτυχε τῷ ἀρότρῳ, τὸ μὲν πρῶτον τὰς τῶν ταύρων ζεύγλας περιέλειχε, λαθὼν δὲ κατὰ μικρὸν, ἐπεὶ καθῆκε τὸν αὐχένα,

ἀνασπᾶν μὴ δυνάμενος, ἐπὶ τὴν ἄρουραν τὸ ἄροτρον ἔσυρεν. Ὁ δὲ ἀρότης ἐπανελθὼν καὶ θεασάμενος αὐτὸν ἔλεγεν· „εἴθε γάρ, ὦ κακὴ κεφαλή, καταλιπὼν τὰς ἁρπαγὰς καὶ τὸ ἀδικεῖν ἐπὶ τὸ γεωπονεῖν τραπείης.“

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων κἂν χρηστότητα ἐπαγγέλλωνται, ψεύδονται.

71. *Ἀσπάλαξ.* (C. 51.)

Ὁ ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. Φησὶν οὖν ποτε τῇ μητρί· „συκαμινέαν, μῆτερ, ὁρῶ.“ Εἶτα αὖθίς φησι· „λιβάνου ὀσμῆς πεπλήρωμαι.“ Κἀκ τρίτου πάλιν „χαλκῆς“ φησὶ „ψηφῖδος κτύπον ἀκούω.“ Ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· „ὦ τέκνον, ὡς ἤδη μανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς καὶ ὀσφρήσεως.“

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

71[b]. *Ἄλλως. Σπάλαξ καὶ Μήτηρ.* (S. 210. C. 307. F. 177.)

Σπάλαξ (ἔστι δὲ τοῦτο τὸ ζῶον τυφλὸν) λέγει τῇ μητρὶ αὐτοῦ, ὅτι βλέπω· κἀκείνη πειράζουσα αὐτὸν χόνδρον λιβανωτοῦ δοῦσα αὐτῷ ἐπηρώτα, τί τοῦτο εἴη. Τοῦ δὲ εἰπόντος ψηφῖδα, ἡ μήτηρ εἶπεν· „ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐστέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀπώλεσας.“

Οὕτως ἔνιοι τῶν ἀλαζόνων, μέχρις οὗ τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

72. *Ἀστρολόγος.* (S. 40. C. 166 et p. 354. F. 19.)

Ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπῆσαι· καὶ δή ποτε περιιὼν εἰς τὸ προάστειον, καὶ τὸν νοῦν ὅλον ἔχων ἐν τῷ οὐρανῷ, ἔλαθε καταπεσὼν εἰς φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶν-

τος, παριών τις ὡς ἤκουσε τῶν στεναγμῶν, προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα, ἔφη πρὸς αὐτόν· „ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς;“

Τῷ λόγῳ τούτῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἳ παραδόξως ἀλαζονεύοντες οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δύνανται.

73. *Ἀφροδίτη καὶ Δούλη.* (B. 10.)

Αἰσχρᾶς τις ἦρα καὶ κακοῤῥύπου δούλης
ἰδίας ἑαυτοῦ, καὶ παρεῖχεν αἰτούσῃ
ἅπανθ' ἑτοίμως. ἡ δὲ χρυσίου πλήρης,
σύρουσα λεπτὴν πορφύραν ἐπὶ κνήμας,
πάσῃ μάχην συνῆπτεν οἰκοδεσποίνῃ·
τὴν δ' Ἀφροδίτην, ὥσπερ αἰτίην τούτων,
λύχνοις ἐτίμα καὶ καθ' ἡμέραν πᾶσαν
ἔθυεν, ηὔχεθ', ἱκέτευεν, ἠρώτα·
ἕως πότ' αὐτῶν ἡ θεὸς καθευδόντων
ἦλθεν καθ' ὕπνους, καὶ φανεῖσα τῇ δούλῃ
„μή μοι χάριν σχῇς ὡς καλήν σε ποιούσῃ·
τούτῳ χολοῦμαι“ φησίν, „ᾧ καλὴ φαίνῃ.“
Ἅπας ὁ τοῖς αἰσχροῖσιν ὡς καλοῖς χαίρων
θεοβλαβής τίς ἐστι καὶ φρένας πηρός.

74. *Βάτραχοι.* (C. 19. F. 38. S. 43.)

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησί· „συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ.“ Ὁ δὲ ὑπολαβὼν εἶπεν· „ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;“

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

75. *Βάτραχοι.* (S. 69. C. 84. F. 238.)

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίαζον· ἐνέμοντο δὲ ὁ μὲν βαθεῖαν καὶ τῆς ὁδοῦ πόῤῥω λίμνην, ὁ δὲ ἐν ὁδῷ μικρὸν ὕδωρ ἔχων. Καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ παραινοῦντος θατέρῳ μεταβῆναι πρὸς αὐτὸν, ἵνα καὶ ἀμείνονος καὶ ἀσφαλεστέρας διαίτης ἀπολαύῃ, ἐκεῖνος οὐκ ἐπείθετο λέγων, δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας· ἕως οὗ συνέβη ἅμαξαν τῇδε παριοῦσαν ὀλέσαι αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες φθάνουσιν ἀπολλύμενοι, πρὶν ἢ ἐπὶ τὰ καλλίονα τραπέσθαι.

76. *Βάτραχοι αἰτοῦντες βασιλέα.* (S. 44. C. 167.)

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ ἑαυτῶν ἀναρχίᾳ πρέσβεις ἔπεμψαν ἐπὶ τὸν Δία, δεόμενοι βασιλέα αὐτοῖς παρασχεῖν. Ὁ δὲ συνιδὼν τὴν εὐήθειαν, ξύλον εἰς τὴν λίμνην καθῆκε. Καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον, ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν· ὕστερον δὲ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύναντες εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὡς ἐπιβαίνοντας αὐτῷ ἐπικαθέζεσθαι. Ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον ἐκ δευτέρου πρὸς τὸν Δία, καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ᾽ αὐτῶν, ὕδραν αὐτοῖς ἐπέπεμψεν, ὑφ᾽ ἧς συλλαμβανόμενοι κατησθίοντο.

Ὁ λόγος δηλοῖ, ὅτι ἄμεινόν ἐστι νωθεῖς καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας, ἢ ταρακτικοὺς καὶ κακούργους.

76ᵇ. *Ἄλλως.* (C. 167 et p. 355. F. 37.)

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ, πρέσβεις ἔπεμψαν, ἱκετεύοντες τὸν Δία, ὅπως αὐτοῖς βα-

σιλέα παράσχῃ. Ὁ δὲ συνιδὼν αὐτῶν τὴν εὐήθειαν, ξύλον ἔπηξε μέσον τῆς λίμνης. Συστελλόμενοι δὲ τῷ φόβῳ οἱ βάτραχοι, εἰς τὰ βάθη ἑαυτοὺς κατέδυον. Χρόνου δὲ πολλοῦ παρῳχηκότος, ὡς ἑώρων τὸ ξύλον ἀκίνητον, ἀπεβάλοντο τὸν φόβον, καὶ τοσοῦτον κατεφρόνησαν αὐτοῦ, ὥστε ἐπιβαίνειν καὶ ἐπικαθέζεσθαι τούτῳ. Μὴ ἀξιοῦντες δὲ αὐτὸν ἔχειν βασιλέα, ἐκ δευτέρου ἦλθον πρὸς τὸν Δία, καὶ παρεκάλουν ἀλλάξαι αὐτόν. Τότε δ' ἔδωκεν αὐτοῖς βασιλέα ἔγχελυν. Ἰδόντες δὲ αὐτοῦ τὴν εὐήθειαν, οὐκ ἀπεδέξαντο αὐτόν. Ἦλθον οὖν ἐκ τρίτου πρὸς τὸν Δία, ὅπως καὶ τοῦτον ἀλλάξῃ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν, ὕδραν ἔπεμψεν, ἥτις ἕνα καθ' ἕνα τῶν βατράχων ἤσθιεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄμεινόν ἐστι θεῷ πείθεσθαι, καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας καὶ ταραχοποιούς.

77. **Βάτραχοι καὶ Ἥλιος.** (C. 350 et p. 407. F. 350. B. 24.)

Γάμοις ἔχαιρον βάτραχοι τοῖς Ἡλίου.
Καί τις πρὸς αὐτοὺς εἶπεν· „ὦ δειλὸν γένος·
εἰ γὰρ μόνου τρέμοιμεν αὐγὰς ἡλίου,
τίς, εἴγε τεκνώσειε, τοῦτον βαστάσει;“
Πρὸς τοὺς ἐπ' ἰδίᾳ βλάβῃ ἀγνωσίᾳ χαίροντας.

77ᵇ. **Ἄλλως.** (C. 350.)

Γάμοι τοῦ Ἡλίου θέρους ἐγίνοντο· πάντα δὲ τὰ ζῶα ἔχαιρον ἐπὶ τούτῳ, ἠγάλλοντο δὲ καὶ βάτραχοι. Εἷς δὲ τούτων εἶπεν· „ὦ μῶροι, εἰς τί ἀγάλλεσθε; εἰ γὰρ μόνος ὢν ὁ Ἥλιος πᾶσαν ὕλην ἀποξηραίνει, ἐὰν γήμας ὅμοιον αὐτῷ γεννήσῃ, τί οὐ πάθωμεν κακῶν;“

78. **Βάτραχος ἰατρός.** (F. 154. C. p. 401.)

Ὄντος ποτὲ βατράχου ἐν τῇ λίμνῃ, καὶ τοῖς ζώοις πᾶσιν ἀναβοήσαντος, „ἐγὼ ἰατρός εἰμι φαρμάκων ἐπι-

στήμων," ἀλώπηξ ἀκούσασα ἔφη· „πῶς σὺ ἄλλους σώσεις, σαυτὸν χωλὸν ὄντα μὴ θεραπεύων;"

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ παιδείας ἀμύητος ὑπάρχων, πῶς ἄλλους παιδεῦσαι δυνήσεται;

78ᵇ. Ἄλλως. Σκώληξ καὶ Ἀλώπηξ. (C. 135. B. 120.)

Ὁ τῷ πηλῷ κρυπτόμενος σκώληξ, εἰς γῆν ἐξελθών, ἔλεγε πᾶσι τοῖς ζώοις· „ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς Παιών." Καὶ „πῶς" εἶπεν ἀλώπηξ „ἄλλους ἰώμενος σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;"

Ὁ μῦθος δηλοῖ, ὅτι, ἐὰν μὴ πρόχειρος ᾖ ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

78ᶜ. Ἄλλως. Βάτραχος καὶ Ἀλώπηξ. (C. 300. F. 213.)

Ὁ βάτραχος τῆς τῶν ἰατρῶν κατηλαζονεύετο τέχνης, πάντα μὲν εἰδέναι φάρμακα γῆς ὑπισχνούμενος, πᾶσι δὲ μόνος εἰς ὑγίειαν ἀρκέσειν. Καὶ παρεστῶσα τοῖς λόγοις ἀλώπηξ τὸ ψεῦδος ἀπὸ τοῦ χρώματος ἤλεγχεν, „τί δῆτα" λέγουσα „νόσου μὲν τοὺς ἄλλους ἐλευθεροῖς, νόσου δὲ φέρεις ἐπὶ τῆς ὄψεως σύμβολον;"

Ἀλαζονεία τὸν ἔλεγχον οἴκοθεν εὕρατο.

79. Βόες καὶ Ἄξονες. (S. 45. C. 168 et p. 355. F. 39. B. 52.)

Βόες ἅμαξαν εἷλκον· τοῦ δὲ ἄξονος τρίζοντος, ἐπιστραφέντες ἔφασαν οὕτως πρὸς αὐτόν· „ὦ οὗτος, ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ τί κράζεις;"

Οὕτω καὶ ἔνιοι ἑτέρων μοχθούντων αὐτοὶ προσποιοῦνται κάμνειν.

80. Βόες καὶ Μάγειροι. (B. 21.)

Βόες μαγείρους ἀπολέσαι πότ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίαν ἐπιστήμην.
καὶ δὴ συνηθροίζοντο, πρὸς μάχην ἤδη

κέρατ' ἀποξύνοντες· εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς (πολλὰ δ' ἦν ἀροτρεύσας),
„οὗτοι μὲν ἡμᾶς" εἶπε „χερσὶν ἐμπείροις
σφάζουσι καὶ κτείνουσι χωρὶς αἰκίης·
ἢν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,
διπλοῦς τότ' ἔσται θάνατος· οὐ γὰρ ἐλλείψει
τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ."
[Ὁ τὴν παροῦσαν πημονὴν φεύγειν σπεύδων
ὁρᾶν ὀφείλει, μή τι χεῖρον ἐξεύρῃ.]

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν σοφοῖς καὶ ἐπιεικέσιν ἢ δεσπόζεσθαι ὑπὸ σκαιῶν τε καὶ ἀπαιδεύτων.

81. Βοηλάτης καὶ Ἡρακλῆς. (C. 335. B. 20.)

Βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς ἵστατο τῷ Ἡράκλει προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων ἀσπαζόμενος ἐτίμα. Ὁ δὲ θεὸς ἐπιστας εἶπε· „τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, καὶ τότε τῷ θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μέντοιγε μάτην εὔχου."

82. Βορέας καὶ Ἥλιος. (S. 46. C. 306. B. 18.)

Βορέας καὶ Ἥλιος περὶ δυνάμεως ἤριζον· ἔδοξε δὲ αὐτοῖς ἐκείνῳ τὴν νίκην ἀπονεῖμαι, ὃς ἂν αὐτῶν ἄνθρωπον ὁδοιπόρον ἐκδύσῃ. Καὶ ὁ Βορέας ἀρξάμενος σφοδρὸς ἦν· τοῦ δὲ ἀνθρώπου ἀντεχομένου τῆς ἐσθῆτος, μᾶλλον ἐπέκειτο. Ὁ δὲ, ὑπὸ τοῦ ψύχους καταπονούμενος ἔτι μᾶλλον, καὶ περιττοτέραν ἐσθῆτα προσελάμβανεν, ἕως ἀποκαμὼν ὁ Βορέας τῷ Ἡλίῳ μετὰ τοῦτο παρέδωκε. Κἀκεῖνος τὸ μὲν πρῶτον μετρίως προσέλαμψε· τοῦ δὲ ἀνθρώπου τὰ περισσὰ τῶν ἱματίων ἀποτιθεμένου, σφοδρότερον τὸ καῦμα ἐπέτεινε, μέχρις οὗ

πρὸς τὴν ἀλέαν ἀντέχειν μὴ δυνάμενος, ἀποδυσάμενος ποταμοῦ ῥέοντος ἐπὶ λουτρὸν ἀπῄει.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθαι ἀνυτικώτερόν ἐστι.

82b. *Ἄλλως*. (C. p. 201. F. 391. ex Plut. Praec. coniug. c. 12.)

Ὁ ἥλιος τὸν βορέαν ἐνίκησεν. Ὁ γὰρ ἄνθρωπος, τοῦ μὲν ἀνέμου βιαζομένου τὸ ἱμάτιον ἀφελέσθαι καὶ λαμπρὸν καταπνέοντος, μᾶλλον ἔσφιγγε καὶ συνεῖχε τὴν περιβολήν. Τοῦ δὲ ἡλίου μετὰ τὸ πνεῦμα θερμοῦ γενομένου θαλπόμενος, εἶτα καυματιζόμενος, καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαπεδύσατο.

Τοῦτο ποιοῦσιν αἱ πλεῖσται γυναῖκες. Ἀφαιρουμένοις τοῖς ἀνδράσι βίᾳ τὴν τρυφὴν καὶ πολυτέλειαν διαμάχονται καὶ χαλεπαίνουσιν· ἂν δὲ πείθωνται μετὰ λόγου, πρᾴως ἀποτίθενται καὶ μετριάζουσιν.

83. *Βουκόλος*. (S. 49. C. 131 et p. 333. F. 41. B. 23.)

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε μόσχον· περιελθὼν δὲ καὶ μὴ εὑρὼν ηὔξατο τῷ Διί, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. Ἐλθὼν δὲ εἴς τινα δρυμῶνα, καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας εἰς τὸν οὐρανὸν τὰς χεῖρας εἶπε· „δέσποτα Ζεῦ, πάλαι μέν σοι ηὐξάμην ἔριφον θῦσαι, ἐὰν τὸν κλέπτην εὕρω· νῦν δὲ ταῦρον θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω.“

Οὗτος ὁ λόγος λεχθείη ἂν κατ᾽ ἀνδρῶν δυστυχούντων, οἵτινες ἀπορούμενοι εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

84. *Βοῦς καὶ Φρῦνος*. (F. 378. C. p. 273. B. 28.)

Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων·
ἐλθοῦσα δ᾽ αὐτόσ᾽ (οὐ παρῆν γὰρ) ἡ μήτηρ

παρὰ τῶν ἀδελφῶν, ποῦ ποτ' ἦν, ἐπεζήτει.
„τέθνηκε, μῆτερ· ἄρτι γὰρ πρὸ τῆς ὥρης
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
χηλῇ μαλαχθείς." ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ' ἑαυτὴν, εἰ τοιοῦτον ἦν ὄγκῳ
τὸ ζῶον. οἱ δὲ μητρὶ „παῦε, μὴ πρίου·
θᾶσσον σεαυτὴν" εἶπον „ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου ποιότητα μιμήσῃ."

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

85. *Βωταλὶς καὶ Νυκτερίς.* (S. 48. C. 77. F. 235.)

Βωταλὶς ἀπό τινος θυρίδος κρεμαμένη νυκτὸς ᾖδε· νυκτερὶς δὲ προσελθοῦσα ἐπυνθάνετο αὐτῆς τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. Τῆς δὲ λεγούσης, ὡς οὐ μάτην τοῦτο πράττει· „ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθην, διὸ ἀπ' ἐκείνου ἐσωφρονίσθην·" ἡ νυκτερὶς εἶπεν· „ἀλλ' οὐ νῦν σε δεῖ φυλάττεσθαι, ὅτε οὐδὲν ὄφελός ἐστι, τότε δὲ πρὶν ἢ συλληφθῆναι."

Ὁ λόγος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασι μετάνοια ἀνωφελὴς καθέστηκε.

86. *Γαλῆ.* (F. 49. C. 81. S. 59.)

Γαλῆ εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον, τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. Συνέβη δὲ ἐκτριβομένης τῆς γλώσσης πολὺ αἷμα φέρεσθαι. Ἡ δὲ ἐτέρπετο, ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς καταβλάπτοντας.

87. *Γαλῆ μέλαινα.*

(Ex Nicephori Gregorae hist. Byzant. VII, 1. p. 216. ed. Schop.)

Ἦν τις ἀνὴρ τὴν τέχνην σκυτεὺς γαλῆν ἔχων τὸ χρῶμα λευκὴν, ἣ τῶν κατ' οἶκον μυῶν καθ' ἡμέραν ἐθήρευεν ἕνα. Αὕτη λαθοῦσά ποτε κατὰ μέσην κρημνίζεται τὴν λεκάνην, ἐν ᾗ τὸ τὰ σκύτη μελαῖνον ὁ σκυτεὺς ἐκεῖνος εἶχεν ὑγρὸν, καὶ μόλις ἐκεῖθεν ἄνεισι μέλαν ἔχουσα χρῶμα. Ἔδοξεν οὖν τοῖς μυσὶν, ἐκείνην ἴσως μηκέτι κρεωφαγεῖν ἐθελήσειν εἰς μοναδικὸν ἑαυτὴν μεταμείψασαν σχῆμα. Ὅθεν καὶ ἀδεῶς ἑαυτοὺς ἐς τὸ ἔδος ἐφήπλωσαν, ῥινηλατοῦντες ἄνω καὶ κάτω οἷς τραφήσονται. ἀλλ' ἐκείνη πρὸς τοσοῦτον ἄγρας παρελθοῦσα θέατρον, πάντας μὲν ὁμοῦ σαγηνεύειν οὐκ εἶχε καὶ μάλα ἐθέλουσα· δύο δ' οὖν ὅμως συλλαβοῦσα κατεθοινήσατο. Οἱ δ' ἕτεροι πάντες ᾤχοντο φεύγοντές τε ἅμα καὶ θαυμάζοντες, ὅπως ἀπηνεστέρα γέγονεν, ἀφ' οὗ τὸ μοναδικὸν περιέθετο σχῆμα.

88. *Γαλῆ καὶ Ἀφροδίτη.*

(S. 50. C. 169 et p. 356. F. 48. B. 32.)

Γαλῆ ἐρασθεῖσα νεανίσκου εὐπρεποῦς ηὔξατο τῇ Ἀφροδίτῃ, ὅπως αὐτὴν μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ ἡ θεὸς ἐλεήσασα αὐτῆς τὸ πάθος μετετύπωσεν αὐτὴν εἰς κόρην εὐειδῆ· καὶ οὕτως ὁ νεανίσκος θεασάμενος αὐτὴν καὶ ἐρασθεὶς οἴκαδε ὡς ἑαυτὸν ἀπήγαγε. Καθημένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη, εἰ μεταβαλοῦσα τὸ σῶμα ἡ γαλῆ καὶ τὸν τρόπον κατήλλαξε, μῦν εἰς τὸ μέσον καθῆκεν· ἡ δὲ ἐπιλαθομένη τῶν παρόντων, ἐξαναστᾶσα ἀπὸ τῆς κοίτης τὸν μῦν ἐδίωκε, καταφαγεῖν θέλουσα. Καὶ ἡ θεὸς ἀγανακτήσασα κατ' αὐτῆς, πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν φύσιν ἀποκατέστησεν.

Οὕτως καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροὶ κατὰ

πάντα, κἂν τὴν φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐ μεταλλάσσουσι.

89. *Γαλῆ συλληφθεῖσα.* (F. 355. C. p. 265. B. 27.)

Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας
ἔπνιγε βάλλων ὑδάτων συναγκείᾳ.
τῆς δ' αὖ λεγούσης „ὡς κακὴν χάριν τίνεις
ὧν σ' ὠφέλουν, θηρῶσα μῦς τε καὶ σαύρας,“
„ἐπιμαρτυρῶ σοι“ φησίν· „ἀλλὰ καὶ πάσας
ἔπνιγες ὄρνεις, πάντα δ' οἶκον ἠρήμους,
κρεῶν (δ') ἀνέῳγες ἄγγος, ὥστε τεθνήξῃ,
βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσ' ἡμᾶς.“

Πρὸς τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ τὰ μεγάλα, εὔκαιρός ἐστιν ὁ λόγος.

90. *Γέρων καὶ Θάνατος.* (S. 60. C. p. 14 et p. 290. F. 50.)

Γέρων ποτὲ ξύλα κόψας [καὶ] ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου φανέντος καὶ πυθομένου, δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη· „ἵνα τὸ φορτίον ἄρῃς.“ [θανεῖν δὲ οὐ θέλω.]

Ὁ λόγος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ἐν τῷ βίῳ, κἂν δυστυχῇ.

90[b]. *Ἄλλως.* (C. 20.)

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν Θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· „ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.“

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος, φιλόζωος ὤν,

κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

91. *Γεωργὸς δίκελλαν ἀπολέσας.* (B. 2.)

Ἀνὴρ γεωργὸς ἀμπελῶνα ταφρεύων
καὶ τὴν δίκελλαν ἀπολέσας ἀνεζήτει,
μὴ τῶν παρόντων τήνδ᾽ ἔκλεψεν ἄγροικος.
ἠρνεῖθ᾽ ἕκαστος· οὐκ ἔχων δ᾽ ὃ ποιήσει,
εἰς τὴν πόλιν κατῆγε πάντας ὁρκώσων·
τῶν γὰρ θεῶν δοκοῦσι τοὺς μὲν εὐήθεις
ἀγροὺς κατοικεῖν, τοὺς δ᾽ ἐσωτέρω τείχους
εἶναί τ᾽ ἀληθεῖς καὶ τὰ πάντ᾽ ἐποπτεύειν.
ὡς δ᾽ εἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
τοὺς πόδας ἔνιζον κἀπέθεντο τὰς πήρας,
κῆρυξ ἐφώνει χιλίας ἀριθμήσειν
μήνυτρα σύλων, ὧν ὁ θεὸς ἐσυλήθη.
ὁ δὲ τοῦτ᾽ ἀκούσας εἶπεν· „ὡς μάτην ἥκω!
κλέπτας γὰρ ἄλλους πῶς θεός γ᾽ ἂν εἰδείη,
ὃς τοὺς ἑαυτοῦ φῶρας οὐχὶ γιγνώσκει,
ζητεῖ δὲ μισθοῦ, μή τις οἶδεν ἀνθρώπων;“

Ὅτι χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις ὧν οὐκ εἰσὶ δεσπόται.

92. *Γεωργὸς καὶ Ἀετός.* (C. 307. F. 418.)

Γεωργὸς ἀετὸν εὑρὼν ἀγρευόμενον, τὸ κάλλος αὐτοῦ θαυμάσας, ἀπέλυσεν αὐτὸν ἐλεύθερον. Ὁ δὲ οὐκ ἄμοιρος αὐτῷ χάριτος κατεφάνη, ἀλλ᾽ ὑπὸ τεῖχος σαθρὸν καθήμενον ἰδών, προσπετάσας τοῖς ποσὶν ἦρε τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φάκελον. Ὁ δὲ ἐξαναστὰς ἐδίωκε· τοῦτον δὲ ὁ ἀετὸς ἔῤῥιψε. Καὶ ἀναλαβόμενος αὐτὸν καὶ ὑποστρέψας, εὗρε τὸ τεῖχος συμπεπτωκός, ἔνθα ἐκάθητο, καὶ τὴν ἀμοιβὴν ἐθαυμάσατο.

Ὅτι τοὺς ἀγαθόν τι πεπονθότας ἀντευεργετεῖν χρή.

93. *Γεωργὸς καὶ Γέρανοι.* (B. 26.)

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην,
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.
ὁ δ' ἄχρι πολλοῦ σφενδόνην κενὴν σείων,
ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.
αἱ δ' ὡς ἐπέσχον σφενδονῶντα τὰς αὔρας,
κατεφρόνησαν λοιπὸν, ὥστε μὴ φεύγειν,
ἕως ἐκεῖνος οὐκέθ', ὡς πρὶν εἰώθει,
λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.
αἱ δ' ἐκλιποῦσαι τὴν ἄρουραν, ἀλλήλαις
„φεύγωμεν“ ἐκραύγαζον „εἰς τὰς Πυγμαίων·
ἄνθρωπος οὗτος οὐκέτ' ἐκφοβεῖν ἡμᾶς
ἔοικεν· ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν.“

Παραίνεσιν ὁ λόγος ἔχει, δεῖν ταῖς ἐκ λόγων παραινέσεσι πταίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναις.

94. *Γεωργὸς καὶ Θάλασσα.* (F. 348. C. p. 385. B. 71.)

Γεωργός τις ἰδὼν ναῦν ἐν θαλάσσῃ κυμαινομένην καὶ βυθῷ πεμπομένην, κατηρᾶτο τὴν θάλασσαν δακρύων. Ἡ δὲ πρὸς αὐτὸν ἀνεβόα τοιαῦτα· „ἵνα τί, ἄνθρωπε, μέμφῃ με μάτην; οὐ γάρ ἔγωγε τῶν κινδύνων αἰτία, ἀλλ' οἱ ἄνεμοι οἱ ἐκταράττοντές με. Εἰ δὲ βουληθῇς χωρὶς τούτων πλεῦσαι, ἡμερωτέραν δή με τῆς γῆς εὑρήσεις.

Ὅτι γαληνοὺς δεσπότας οἱ χαιρέκακοι παραφυσῶντες ἐπεγείρουσι πρὸς ὀργάς τε καὶ ζάλας.

94^b^. *Ἄλλως. Ναυαγὸς καὶ Θάλασσα.* (S. 166. C. 247. F. 309.)

Ναυαγὸς ἐκβρασθεὶς εἴς τινα αἰγιαλὸν διὰ τὸν κόπον ἐκοιμᾶτο· μετὰ δὲ μικρὸν ἐξαναστὰς, ὡς ἐθεάσατο πρὸς τὴν θάλασσαν, ἐμέμφετο αὐτὴν, ὅτι δελεάζουσα τοὺς ἀνθρώπους τῇ τῆς ὄψεως λαμπρότητι, ἡνίκα ἂν

αὐτοὺς προσδέξηται, ἐξαγριουμένη διαφθείρει. Ἡ δὲ γυναικὶ ὁμοιωθεῖσα πρὸς αὐτὸν ἔφη· „ἀλλ' ὦ οὗτος, μὴ μέμφου ἐμὲ, ἀλλὰ τοὺς ἀνέμους· ἐγὼ γὰρ φύσει τοιαύτη εἰμὶ, ὁποία ἡ γῆ· οἱ δὲ αἰφνίδιοι ἐμπίπτοντες κυματοῦσι καὶ ἐξαγριαίνουσιν."

Ἀτὰρ οὖν καὶ ἡμᾶς ἐπὶ τῶν ἀδικημάτων οὐ δεῖ τοὺς δρῶντας αἰτιᾶσθαι, ὅταν ἑτέροις ὑποτεταγμένοι ὦσι, τοὺς δὲ τούτοις ἐπιστατοῦντας.

95. *Γεωργὸς καὶ Κύνες.* (S. 52. C. 23 et p. 292. F. 43.)

Γεωργὸς ὑπὸ χειμῶνος ἐναποληφθεὶς ἐν τῇ ἐπαύλει, ἐπειδὴ οὐκ ἠδύνατο προελθὼν τροφὴν ἑαυτῷ πορίσασθαι, τὸ μὲν πρῶτον τὰ πρόβατα κατέφαγεν· ἐπειδὴ δὲ ὁ χειμὼν ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο· ἐκ τρίτου δὲ, ὡς οὐδεμία ἄνεσις ἐγίνετο, καὶ ἐπὶ τοὺς ἀροτῆρας βοῦς ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ πραττόμενα, ἔφασαν πρὸς ἀλλήλους· „ἀπιτέον ἡμῖν ἐντεῦθεν· ὁ δεσπότης γὰρ εἰ οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέσχετο, ἡμῶν πῶς φείσεται;"

Ὁ λόγος δηλοῖ, ὅτι δεῖ τούτους φυλάττεσθαι μάλιστα, οἳ οὐδὲ τῆς τῶν οἰκείων ἀδικίας ἀπέχονται.

96. *Γεωργὸς καὶ Ὄφις.* (S. 51. F. 42. C. p. 339.)

Γεωργοῦ παῖδα ὄφις ἑρπύσας ἀπέκτεινεν. Ὁ δὲ ἐπὶ τούτῳ δεινοπαθήσας πέλεκυν ἀνέλαβε, καὶ παραγενόμενος εἰς τὸν φωλεὸν αὐτοῦ εἱστήκει, παρατηρούμενος, ὅπως, ἂν ἐξίῃ, εὐθέως αὐτὸν πατάξῃ. Παρακύψαντος δὲ τοῦ ὄφεως κατενεγκὼν τὸν πέλεκυν τοῦ μὲν διήμαρτε, τὴν δὲ παρακειμένην πέτραν διέκοψεν. Εὐλαβηθεὶς δὲ ὕστερον παρεκάλει αὐτὸν, ὅπως αὐτῷ διαλλαγῇ· ὁ δὲ εἶπεν· „ἀλλ' οὔτε ἐγὼ δύναμαί σοι εὐνοῆσαι, ὁρῶν τὴν κεχαραγμένην πέτραν, οὔτε σὺ ἐμοὶ, ἀποβλέπων εἰς τὸν τοῦ παιδὸς τάφον."

Ὁ λόγος δηλοῖ, ὅτι αἱ μεγάλαι ἔχθραι οὐ ῥαδίως τὰς μεταλλαγὰς ἔχουσι.

96[b]. Ἄλλως. (C. 141 et p. 338. F. 155.)

Ὄφις, ἐν γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. Πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. Καὶ ὁ πατὴρ, ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν, ἔμελλε τὸν ὄφιν ἐξελθόντα φονεύσειν. Ὡς δὲ ἔκυψε μικρὸν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτὸν, ἠστόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. Ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς, νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας, ἔθηκεν ἐν τῇ τρώγλῃ. Ὁ δὲ ὄφις, λεπτὸν συρίξας, εἶπεν· „οὐκ ἔσται ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ τέκνου.“

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους ἢ ἀμύνης ἐπιλανθάνεται, ἐφ᾽ ὅσον βλέπει μνημόσυνον, δι᾽ οὗ ἐλυπήθη.

97. Γεωργὸς καὶ Ὄφις. (S. 62. C. 170.)

Γέρων τις γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε· θνήσκων δὲ ἔλεγε· „δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας.“

Ὁ λόγος δηλοῖ, ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν τὰ μέγιστα φιλανθρωπεύωνται.

97[b]. Ἄλλως. Ὁδοιπόρος καὶ Ἔχις. (S. 171. F. 130. C. p. 357.)

Ὁδοιπόρος χειμῶνος ὁδεύων, ὡς ἐθεάσατο ἔχιν ὑπὸ τοῦ κρύους διαφθειρόμενον, τοῦτον ἐλεήσας ἀνείλετο, καὶ βαλὼν εἰς τὸν ἑαυτοῦ κόλπον, θερμαίνειν ἐπειρᾶτο. Ὁ δὲ, μέχρι μὲν ὑπὸ τοῦ ψύχους συνείχετο, ἠρέμει· ἐπειδὴ δὲ ἐθερμάνθη, καὶ ἀνεζωώθη, τὴν αὐτοῦ γα-

στέρα ἔδακε. Καὶ ὃς ἀποθνήσκειν μέλλων ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τοῦτον ἀπολλύμενον ἔσωζον, ὃν ἔδει καὶ ἐῤῥωμένον ἀναιρεῖν;"

Ὁ λόγος δηλοῖ, ὅτι πονηρία εὐεργετουμένη πρὸς τῷ ἀμοιβὰς οὐκ ἀποδιδόναι καὶ κατὰ τῶν εὐεργετῶν ἀναπτεροῦται.

98. *Γεωργὸς καὶ Παῖδες αὐτοῦ.* (C. 22 et p. 291. F. 33.)

Γεωργός τις, μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς ἔφη· „παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι, ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες, εὑρήσετε πάντα." Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος, καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

98b. *Ἄλλως.* (S. 42.)

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὑτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας, μετακαλεσάμενος αὐτοὺς ἔφη· „τεκνία μου, ἐν ἑνί μου τῶν ἀμπελώνων θησαυρὸς ἀπόκειται." Οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕννας τε καὶ δικέλλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν, καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δ' ἄμπελος πολλαπλασίονα τὴν φορὰν αὐτοῖς ἀντεδίδου.

Ὁ λόγος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

99. *Γεωργὸς καὶ Παῖς καὶ Κολοιοί.* (F. 374. C. p. 271. B. 33.)

Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη·
καί τις γεωργὸς πυρὸν εἰς νεὸν ῥίψας
ἐφύλασσεν ἑστώς· καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ' ὀρύκται σπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος. οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον, εἰ τὴν σφενδόνην πότ' ᾐτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην, τόν τε παῖδα φωνήσας
ἐδίδασκεν· „ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
σοφὸν δολῶσαι φῦλον· ἡνίκ' ἂν τοίνυν
ἔλθωσ', ἐγὼ μὲν“ εἶπεν „ἄρτον αἰτήσω,
σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.“
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκην·
οἱ δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον· οἱ δ' ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε· „φεύγετ' ἀνθρώπων
γένος πονηρὸν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων.“
[Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

100. *Γεωργὸς καὶ Πελαργός.* (C. 172 et p. 358. F. 76. B. 13.)

Ἐν ἀρούρᾳ παγίδας γεωργὸς ἔστησε. Θηρεύσας δὲ γεράνους, τοὺς τὸν σπόρον φθείροντας, σὺν αὐτοῖς καὶ πελαργὸν εἰλήφει. Ὁ δὲ χωλεύων ἱκέτευεν ἀφεθῆναι λέγων· „οὐ γάρ εἰμι γέρανος· πελαργός εἰμι, εὐ-

σεβέστατον ζῶον, ὃς τιμῶ τὸν πατέρα καὶ δουλεύω· ἴδε καὶ τὴν χροιάν, ὡς οὐχ ὁμοία.“ Ὁ δ' ἔφη· „οὐκ οἶδα τί λέγεις· ἐγὼ σὺν οἷς εἴληφά σε, μετ' αὐτῶν καὶ ἀπολέσω.“

Ὅτι καλόν ἐστι φεύγειν, καὶ μὴ συγκοινωνεῖν ἀνδράσι κακοῖς, μή πως κινδύνοις σὺν αὐτοῖς ἐμπέσῃς.

100[b]. Ἄλλως. Ὀρνιθοθήρας καὶ Πελαργός. (F. 147. C. p. 359. S. 190.)

Ὀρνιθοθήρας δίκτυα γεράνοις ἀναπετάσας, πόῤῥωθεν ἐθεώρει τὴν ἄγραν. Πελαργοῦ δὲ σὺν τοῖς γεράνοις ἐπικαθίσαντος, ἐπιδραμὼν μετ' ἐκείνων καὶ αὐτὸν συνέλαβε. Τοῦ δὲ δεομένου μὴ θῦσαι αὐτὸν καὶ λέγοντος, ὡς οὐ μόνον [αὐτὸς] ἀβλαβής ἐστι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ὠφελιμώτατος· τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀναιρεῖν, ὁ ὀρνιθοθήρας ἔφη· „ἀλλ' εἰ τὰ μάλιστα οὐ φαῦλος εἶ, διὰ τοῦτο κολάσεως ἄξιος, ὅτι μετὰ πονηρῶν κεκάθικας.“

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τὰς τῶν πονηρῶν συνουσίας φεύγειν, ἵνα μὴ καὶ αὐτοὶ ἐκείνων τῆς κακίας κοινωνεῖν δόξωμεν.

101. Γεωργὸς καὶ Τύχη. (C. 82. F. 51. S. 61.)

Γεωργός τις σκάπτων χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην οὖν τὴν Γῆν, ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς, ἔστεφε. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσά φησιν· „ὦ οὗτος, τί τῇ Γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; Εἰ γὰρ ὁ καιρὸς μεταβάλοι, καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτα ἐμὲ, τὴν Τύχην, μέμψῃ.“

Ὁ μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν καὶ τούτῳ χάριτας ἀποδιδόναι.

102. *Γεωργὸς καὶ Φυτόν.* (C. 173. F. 266.)

Φυτὸν ἦν εἰς γεωργοῦ χώραν, καρπὸν μὴ φέρον, ἀλλὰ μόνον στρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή. Ὁ δὲ γεωργὸς ὡς ἄκαρπον ἐκτέμνειν ἤμελλε· καὶ δὴ τὸν πέλεκυν λαβὼν ἐπέφερε τὴν πληγήν. Οἱ δὲ τέττιγες καὶ οἱ στρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι, ἀλλ' ἐᾶσαι, ὥστε ᾄδειν ἐν αὐτῷ, καὶ αὐτὸν τὸν γεωργὸν τέρπειν. Ὁ δὲ μηδὲν αὐτῶν φροντίσας, καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερε. Ὡς δὲ ἐκοίλανε τὸ δένδρον, σμῆνος μελισσῶν καὶ μέλι εὗρε. Γευσάμενος δὲ τὸν πέλεκυν ἔῤῥιψε, καὶ τὸ φυτὸν ἐτίμα ὡς ἱερὸν, καὶ ἐπεμελεῖτο.

Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει τὸ δίκαιον ἀγαπῶσι καὶ τιμῶσιν, ὅσον τὸ κερδαλέον ἐπιδιώκουσιν.

103. *Γεωργοῦ Παῖδες.* (S. 53. C. 171 et p. 358. F. 52. B. 47.)

Γεωργοῦ παῖδες ἐστασίαζον· ὁ δ', ὡς πολλὰ παραινῶν οὐκ ἠδύνατο πεῖσαι αὐτοὺς λόγοις μεταβάλλεσθαι, ἔγνω δεῖν πρᾶγμα τοῦτο πρᾶξαι. Καὶ παρῄνεσεν αὐτοῖς ῥάβδων δέσμην κομίσαι. Τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, τὸ μὲν πρῶτον δοὺς αὐτοῖς ἀθρόας τὰς ῥάβδους ἐκέλευσε κατεάσσειν· ἐπειδὴ δὲ καὶ περιβιαζόμενοι οὐκ ἠδύναντο, ἐκ δευτέρου λύσας τὴν δέσμην ἀνὰ μίαν αὐτοῖς ῥάβδον ἐδίδου· τῶν δὲ ῥᾳδίως κατακλώντων, ἔφη· „ἀτὰρ οὖν καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν μὲν ὁμοφρονῆτε, ἀχείρωτοι τοῖς ἐχθροῖς ἔσεσθε· ἐὰν δὲ στασιάζητε, εὐάλωτοι.“

Ὁ λόγος δηλοῖ, ὅτι τοσοῦτον ἰσχυρότερόν ἐστιν ἡ ὁμόνοια, ὅσον εὐκαταγώνιστος ἡ στάσις.

104. *Γηπόνος, Ὄνος καὶ Βοῦς.* (F. 371. C. p. 270. ex B. 55.)

Ὄνον τις ἔχων καὶ τῷ βοῒ συζεύξας ἠροτρία, πτωχῶς μὲν, ἀλλ' ἀναγκαίως. Ἐπεὶ δὲ τὸ ἔργον ἐπληρώθη,

καὶ λύειν ἔμελλεν αὐτούς, ἡ ὄνος διηρώτα τὸν βοῦν· „τίς ἄξει τῷ γηπόνῳ τὰ σκεύη;“ Ὁ δὲ πρὸς αὐτὴν εἶπε· „πάντως ὅσπερ εἴωθεν.“

105. *Γλαὺξ καὶ Ὄρνεα.*
(C. 331. ex Dione Chrysost. XII, §. 7 sq.)

Γλαύξ, σοφὴ οὖσα, ξυνεβούλευε τοῖς ὀρνέοις, τῆς δρυὸς ἐν ἀρχῇ φυομένης, μὴ ἐᾶσαι, ἀλλ' ἀνελεῖν πάντι τρόπον· ἔσεσθαι γὰρ φάρμακον ἀπ' αὐτῆς ἄφυκτοι, ὑφ' οὗ ἁλώσονται, τὸν ἰξόν. Πάλιν δὲ τὸ λίνον τῶν ἀνθρώπων σπειρόντων, ἐκέλευε καὶ τοῦτο ἐκλέγειν τὸ σπέρμα· μὴ γὰρ ἐπ' ἀγαθῷ φυήσεσθαι. Τρίτον δέ, ἰδοῦσα τοξευτήν τινα ἄνδρα, προέλεγεν, ὅτι οὗτος ὁ ἀνὴρ φθάσει ὑμᾶς τοῖς ὑμετέροις πτεροῖς, πεζὸς ὢν αὐτὸς πτηνὰ ἐπιπέμπων βέλη. Τὰ δὲ ἠπίστει τοῖς λόγοις καὶ ἀνόητον αὐτὴν ἡγοῦντο καὶ μαίνεσθαι ἔφασκον· ὕστερον δὲ πειρώμενα ἐθαύμαζε καὶ τῷ ὄντι σοφωτάτην ἐνόμιζεν. Καὶ διὰ τοῦτο, ἐπὰν φανῇ, πρόσεισιν ὡς πρὸς ἅπαντα ἐπισταμένην· ἡ δὲ ξυμβουλεύει μὲν οὐδὲν ἔτι αὐτοῖς, ὀδύρεται δὲ μόνον.

106. *Γλαὺξ καὶ Ὄρνεα.*
(C. 330. F. 385. ex Dione Chrysost. LXXII, §. 14 sq.)

Αἴσωπος ξυνετίθει λόγον τοιοῦτον· ὡς τὰ ὄρνεα ξυνῆλθε πρὸς τὴν γλαῦκα καὶ ἐδεῖτο, τῆς μὲν ἀπὸ τῶν οἰκοδομημάτων σκέπης ἀπανίστασθαι, πρὸς δὲ τὰ δένδρα τὴν καλιάν, ὥσπερ καὶ αὐτά, καὶ τοὺς τούτων μεταπήγνυσθαι κλῶνας, ἀφ' ὧν καὶ ᾄδειν ἔστιν εὐσημότερον· καὶ δὴ καὶ πρὸς δρῦν ἄρτι ταυτηνὶ φυομένην, ἐπειδὰν πρὸς ὥραν ἀφίκηται, ἑτοίμως ἔχειν ἱζάνειν καὶ τῆς χλοερᾶς κόμης ἀπόνασθαι. Ἀλλ' οὖν τήν γε γλαῦκα μὴ τοῦτο τοῖς ὀρνέοις ποιεῖν παραινεῖν μηδὲ φυτοῦ βλάστῃ ἐφήδεσθαι ἰξὸν πεφυκότος φέρειν, πτηνοῖς ὄλεθρον. Τὰ δὲ μὴ τῆς ξυμβουλῆς ἀποδέχεσθαι τὴν

γλαῦκα· τοὐναντίον δὲ ἔχαιρε τῇ δρυὶ φυομένῃ· ἐπειδὴ δὲ ἱκανὴ ἦν, καθίσαντα ἐπ' αὐτὴν ᾖδεν. Γενομένου δὲ τοῦ ἰξοῦ ῥᾳδίως ἤδη ὑπὸ τῶν ἀνθρώπων ἁλισκόμενα μετενόουν καὶ τὴν γλαῦκα ἐθαύμαζον ἐπὶ τῇ ξυμβουλῇ. Καὶ νῦν ἔτι οὕτως ἔχουσιν, ὡς δεινῆς καὶ σοφῆς οὔσης αὐτῆς, καὶ διὰ τοῦτο ἐθέλουσι πλησιάζειν, ἡγούμενα ἀγαθόν τι ἀπολαύειν τῆς ξυνουσίας. Προσίασι δὲ μάτην ἐπὶ κακῷ. Ἡ μὲν γὰρ ἀρχαία γλαὺξ τῷ ὄντι φρονίμη τε ἦν καὶ ξυμβουλεύειν ἐδύνατο· αἱ δὲ νῦν μόνον τὰ πτερὰ ἔχουσιν ἐκείνης καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ ῥάμφος, τὰ δὲ ἄλλα ἀφρονέστεραί εἰσι τῶν ἄλλων ὀρνέων.

107. Γραῦς καὶ Ἰατρός. (S. 57.)

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ παρεκάλεσεν· ὁ δὲ εἰσιών, ὁπότε αὐτὴν ἔχριε, διετέλει ἐκείνης συμμυούσης καθ' ἓν ἕκαστον τῶν σκευῶν ὑφαιρούμενος. Ἐπεὶ δὲ πάντα ἐκφορήσας κἀκείνην ἐθεράπευσεν, ἀπῄτει τὸν συνταχθέντα μισθόν. Μὴ βουλομένης δ' αὐτῆς ἐπιδοῦναι, ἤγαγεν αὐτὴν ἐπὶ τοὺς ἄρχοντας. Ἡ δ' ἔλεγε, τὸν μὲν μισθὸν ὑπισχνεῖσθαι, ἐὰν θεραπεύσῃ αὐτῆς τὰς ὁράσεις· νῦν δὲ χεῖρον διατεθῆναι· „τότε μὲν γὰρ ἔβλεπον“ ἔφη „πάντα τὰ ἐπὶ τῆς οἰκίας μου σκεύη, νῦν δὲ οὐδὲν ἰδεῖν δύναμαι.“

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

107[b]. Ἄλλως. (F. 46. C. 21 et p. 291.)

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα, ἰατρόν τινα ἐπὶ μισθῷ ἰατρεῦσαι αὐτὴν παρεκάλει, στοιχήσασα ἐνώπιον μαρτύρων, ὅτι ἐὰν θεραπεύσῃ αὐτῆς τοὺς ὀφθαλμούς, πολὺν λήψεται παρ' αὐτῆς τὸν μισθόν· ἐὰν δὲ μὴ θεραπευθῇ, ἐπιμείνῃ δὲ ἡ ἀῤῥωστία, μηδὲν αὐτῷ παράσχῃ. Καὶ οὕτω γενομένου, ὅσον ὅσον ὁ ἰα-

τρὸς ἐπετίθει τοῖς ὀφθαλμοῖς αὐτῆς τὴν ἰατρείαν, κατ' ὀλίγον ὀλίγον τὰ προσόντα αὐτῇ ἔκλεπτε. Μετ' οὐ πολὺ δὲ θεραπεύσας αὐτὴν, ἐζήτει τὸν στοιχηθέντα μισθόν. Ἀναβλέψασα τοίνυν ἡ γραῦς, ὡς οὐδὲν τῶν προσόντων αὐτῇ ἐθεάσατο ἐν τῇ οἰκίᾳ αὐτῆς, οὐδὲν ἐδίδου αὐτῷ. Ὡς οὖν ἐπέμενεν ὁ ἰατρὸς ἐκβιάζων αὐτὴν, ἐκείνη δὲ ἀνεβάλλετο, ἀπήγαγεν αὐτὴν πρὸς τοὺς ἄρχοντας. Στᾶσα οὖν ἐνώπιον αὐτῶν ἔφη· „ὁ ἄνθρωπος οὗτος, καθὼς λέγει, ἀλήθειαν λέγει· ἐπηγγειλάμην γὰρ δοῦναι αὐτῷ τὸν μισθὸν, ἐὰν καλῶς ἀναβλέψω· ἐὰν δὲ ἐπιμείνω τῇ ἀῤῥωστίᾳ, ἵνα μηδὲν παρέξω αὐτῷ. Νῦν οὖν φάσκει, ὅτι ἐθεραπεύθην· ἐγὼ δὲ τοὐναντίον λέγω παθεῖν με· ὅτε γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, τότε καὶ σκεύη διάφορα καὶ χρήματα ἔβλεπον ἐν τῇ οἰκίᾳ μου· νυνὶ δὲ, ὅτε αὐτὸς φάσκει βλέπειν με, οὐδὲν δύναμαι ἄρτι θεάσασθαι."

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

108. Γυνή. (C. 73. F. 234.)

Γυνή τις ἄνδρα μέθυσον εἶχε· τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. Κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο καὶ ἀπῆλθεν. Ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου. Ἐκείνου δὲ φήσαντος „τίς ὁ τὴν θύραν κόπτων;" ἡ γυνὴ ἀπεκρίνατο· „ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων ἐγὼ πάρειμι." Κἀκεῖνος· „μή μοι φαγεῖν, ἀλλὰ πιεῖν, ὦ βέλτιστε, μᾶλλον προσένεγκε· λυπεῖς γάρ με βρώσεως, ἀλλὰ

μὴ πόσεως μνημονεύων." Ἡ δὲ τὸ στῆθος πατάξασα „οἴμοι τῇ δυστήνῳ" φησίν· „οὐδὲν γὰρ οὐδὲ σοφισαμένη ὤνησα· σὺ γάρ, ἄνερ, οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. Ἔστι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

109. *Γυνὴ καὶ Γεωργός.* (C. 343. F. 412.)

Γυνή τις, προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον ἐθρήνει. Ἀροτριῶν δέ τις οὐ πόῤῥω τοῦ μνήματος εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικός, καὶ καταλιπὼν τοὺς βόας ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα, καὶ καθίσας συνεθρήνει τῇ γυναικί. Τῆς δὲ πυθομένης, τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται; „ὅτι κἀγὼ" φησὶν „εὐπρεπῆ γυναῖκα κατώρυξα, καί, ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι." Ἡ δὲ „κἀμοὶ τοῦτ' αὐτὸ προσγίνεται." Κἀκεῖνος· „εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεσι, τί δήποτε ἀλλήλοις μὴ σύνεσμεν; ἐγώ τε γὰρ φιλήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σαυτῆς ἄνδρα." Ταῦτα ἔπεισε τὴν γυναῖκα, καὶ δὴ συνῆλθον. Ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν καὶ τοὺς βόας λύσας ἀπήλασεν. Ὁ δὲ ἐπανελθὼν καὶ τοὺς βόας μὴ εὑρηκώς, κόπτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. Ἐλθοῦσα δὲ καὶ ἡ γυνὴ καὶ ὀλοφυρόμενον εὑροῦσα, φησί „πάλιν κλαίεις;" κἀκεῖνος „νῦν" εἶπεν „ἐπ' ἀληθείας κλαίω."

110. *Γυνὴ καὶ Θεράπαιναι* (C. 79. F. 44. S. 55.)

Γυνὴ χήρα φιλεργός, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δέ, συνεχῶς τῷ πόνῳ ταλαι-

πωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

111. *Γυνὴ καὶ Ὄρνις.* (C. 24. F. 47. S. 58.)

Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις, πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀποβάλλουσι.

112. *Γυνὴ μάγος.* (S. 46.)

Γυνὴ μάγος ἐπῳδὰς θείων μηνιμάτων ἐπαγγελλομένη διετέλει πολλὰ ποιοῦσα, κἀκ τούτου οὐ μικρὸν βίον πορίζουσα. Ἐπὶ τούτῳ γραψάμενοί τινες αὐτὴν ὡς καινοτομοῦσαν περὶ τὰ θεῖα εἰς δίκην ὑπήγαγον, καὶ κατηγορήσαντες κατεδίκασαν αὐτὴν ἐπὶ θανάτῳ. Θεασάμενος δέ τις αὐτὴν ἐκ τῶν δικαστηρίων, ἔφη αὐτῇ· „ἡ τὰς δαιμόνων ὀργὰς τρέπειν ἐπαγγελλομένη πῶς οὐδὲ ἀνθρώπους πεῖσαι ἠδυνήθης;“

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς γυναῖκα πλάνον, ἥτις τὰ μείζονα κατεπαγγελλομένη τοῖς μετρίοις ἀδύνατος ἀπελέγχεται.

112ᵇ. *Ἄλλως.* (C. 80. F. 45.)

Γυνὴ μάγος, θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος

ἐντεῦθεν ἔχουσα. Γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας εἷλον, καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. Ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν, ἔφη· „ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης;"

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

113. *Δάμαλις καὶ Βοῦς.* (F. 61. C. 174 et p. 360. B. 37.)

Δάμαλις βοῦν ὁρῶσα ἐργαζόμενον, ἐταλάνιζεν αὐτὸν ἐπὶ τῷ κόπῳ. Ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν ἀπολύσαντες, τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. Ἰδὼν δὲ ὁ βοῦς ἐμειδίασε καὶ πρὸς αὐτὴν εἶπεν· „ὦ δάμαλις, διὰ τοῦτο ἤργεις, διότι ἔμελλες ἀρτίως τυθῆναι."

Ὁ μῦθος δηλοῖ, ὅτι τὸν ἀργοῦντα κίνδυνος μένει.

114. *Δειλὸς κυνηγὸς καὶ Δρυοτόμος.* (C. 175. F. 267. B. 92.)

Λέοντός τινος ἴχνη ἐζήτει κυνηγός· δρυοτόμον δὲ ἐρωτήσας, εἰ εἶδεν ἴχνη λέοντος, καὶ ποῦ κοιτάζει, ἔφη· „καὶ αὐτὸν τὸν λέοντα ἤδη σοι δείξω." Ὁ δὲ ὠχριάσας ἐκ τοῦ φόβου, καὶ τοὺς ὀδόντας συγκρούων εἶπεν· „ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα."

Ὅτι τοὺς θρασεῖς καὶ δειλοὺς ὁ λόγος ἐλέγχει, τοὺς τολμηροὺς ἐν τοῖς λόγοις μόνοις καὶ οὐκ ἐν τοῖς ἔργοις.

115. *Δέλφαξ καὶ Πρόβατα.* (S. 86. C. p. 362. F. 72.)

Ἔν τινι ποίμνῃ δέλφαξ εἰσελθὼν ἐνέμετο. Καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτὸν, ἐκεκράγει τε καὶ ἀντέτεινε· τῶν δὲ προβάτων αὐτὸν αἰτιωμένων ἐπὶ τῷ βοᾶν, καὶ λεγόντων, „ἡμᾶς μὲν συνεχῶς συλλαμβάνει, καὶ οὐ κράζομεν," ἔφη πρὸς ταῦτα· „ἀλλ' οὐχ ὁμοία τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει ἢ διὰ τὸ γάλα· ἐμὲ δὲ διὰ τὸ κρέας."

Ὁ λόγος δηλοῖ, ὅτι εἰκότως ἐκεῖνοι ἀνοιμώζουσιν, οἷς ὁ κίνδυνος οὐ περὶ χρημάτων ἐστὶν, ἀλλὰ περὶ αὐτῆς τῆς σωτηρίας.

115[b]. Ἄλλως. Δέλφαξ καὶ Ἀλώπηξ. (S. 174. C. 176. F. 131.)

Ὄνῳ τις ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλφακα, ἤλαυνεν εἰς ἄστυ. Τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος, ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν, δι' ἣν, τῶν λοιπῶν μεθ' ἡσυχίας φερομένων, μόνος αὐτὸς βοᾷ. Ὁ δὲ ὑποτυχὼν ἔφη· „ἀλλ' ἔγωγε οὐ μάτην ὀδύρομαι· εὖ γὰρ οἶδα, ὅτι τοῦ μὲν προβάτου ἔριά τε καὶ ἄρνας παρεχομένου ὁ δεσπότης ἀφέξεται· ὁμοίως δὲ καὶ τῆς αἰγὸς διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοὶ δὲ οὐκ ἔχων εἰς ἄλλο τι χρήσασθαι, πάντως με θύσει.“

Οὕτω καὶ τῶν ἀνθρώπων οὐ μεμπτέοι εἰσὶν, ὅσοι τὰς μελλούσας προορώμενοι συμφορὰς ἀποκλαίονται.

116. Δελφῖνες καὶ Κωβιός. (F. 53. C. p. 362. S. 72.)

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς μάχης κορυφουμένης, κωβιὸς ἀνέδυ (ἔστι δὲ οὗτος μικρὸς ἰχθὺς), καὶ ἐπειρᾶτο αὐτοὺς διαλλάττειν. Εἷς δέ τις τῶν δελφίνων ὑπολαβὼν ἔφη πρὸς αὐτόν· „ἀλλ' ἡμῖν ἀνεκτότερόν ἐστι μαχομένοις ὑπ' ἀλλήλων διαφθαρῆναι, ἢ σοῦ διαλλακτοῦ τυχεῖν.“

Οὕτως ἔνιοι τῶν ἀνθρώπων οὐδενὸς ἄξιοι ὄντες, ὅταν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι.

116[b]. Ἄλλως. Δελφῖνες καὶ Καρίς. (C. 177. B. 39.)

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς στάσεως αὐτῶν σφοδρυνομένης, καρὶς ἀναδῦσα ἐπειρᾶτο αὐτοὺς διαλύειν. Εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν ἔφη πρὸς αὐτήν· „ἀλλ' ἡμῖν αἱ-

ρετώτερόν ἐστιν ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλακτοῦ τυχεῖν."

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, οὐδενὸς ἄξιοι ὄντες, ἂν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι.

117. Δημάδης ὁ ῥήτωρ. (S. 63. C. 178 et p. 363. F. 54.)

Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων οὐ πάνυ αὐτῷ προσεχόντων, ἐδεήθη αὐτῶν, ὅπως ἐπιτρέψωσιν αὐτῷ Αἰσώπειον μῦθον εἰπεῖν. Τῶν δὲ προτρεψαμένων, αὐτὸς ἀρξάμενος ἔλεγε· „Δήμητρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ἐβάδιζον ὁδόν· γενομένων δὲ αὐτῶν κατά τινα ποταμὸν, ἡ μὲν χελιδὼν ἀνέπτη, ἡ δὲ ἔγχελυς κατέδυ·" καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. Ἐρομένων δ' αὐτῶν „τί οὖν ἡ Δήμητρα ἔπαθεν;" ἔφη· „κεχόλωται ὑμῖν, οἵτινες τὰ τῆς πόλεως πράγματα ἐάσαντες Αἰσωπείων μύθων ἀντέχεσθε."

Οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν, ὅσοι τῶν μὲν ἀναγκαίων ὀλιγωροῦσι, τὰ δὲ πρὸς ἡδονὴν μᾶλλον αἱροῦνται.

118. Δηχθεὶς ὑπὸ μύρμηκος καὶ Ἑρμῆς.
(C. 364 et p. 411. F. 363. B. 117.)

Ναῦν ποτε μετὰ τῶν ἀνδρῶν βυθισθεῖσαν ἰδών τις, ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν· „δι' ἕνα γὰρ ἀσεβῆ συναπώλοντο καὶ ἀναίτιοι." Ταῦτα αὐτοῦ λέγοντος, μυρμήκων πολλῶν ὄντων ἐν τῷ τόπῳ, ἐν ᾧ ἔτυχεν ἱστάμενος, συνέβη ὑφ' ἑνὸς δηχθῆναι τούτων. Ὁ δὲ ὑφ' ἑνὸς δηχθεὶς συνεπάτησε τοὺς πάντας. Ἑρμῆς δ' ἐπιστὰς αὐτῷ καὶ τῇ ῥάβδῳ παίων, εἶπεν· „εἶτα οὐκ ἀνέχῃ σὺ τοὺς θεοὺς δικαστὰς εἶναι, οἷος εἶ σὺ τῶν μυρμήκων;"

Ὁ λόγος διδάσκει ἡμᾶς, μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν εἶναι.

119. *Διογένης ὁδοιπορῶν.* (F. 56. C. 398.)

Διογένης ὁ κυνικὸς ὁδοιπορῶν, ὡς ἐγένετο κατά τινα ποταμὸν πλημμυροῦντα, εἱστήκει ἀμηχανῶν. Εἷς δέ τις τῶν διαβιβάζειν εἰθισμένων θεασάμενος αὐτὸν διαποροῦντα, προσελθὼν, καὶ ἀράμενος αὐτὸν σὺν φιλοφροσύνῃ, διεπέρασεν αὐτόν. Ὁ δὲ εἱστήκει τὴν αὐτοῦ πενίαν μεμφόμενος, δι' ἣν ἀμείψασθαι τὸν εὐεργέτην οὐ δύναται. Ἔτι δὲ αὐτοῦ ταῦτα διανοουμένου, ἐκεῖνος θεασάμενος ἕτερον ὁδοιπόρον διελθεῖν μὴ δυνάμενον, προσδραμὼν καὶ αὐτὸν διεπέρασε. Καὶ ὁ Διογένης προσελθὼν αὐτῷ εἶπεν· „ἀλλ' ἔγωγε οὐκέτι σοι χάριν ἔχω ἐπὶ τῷ γεγονότι· ὁρῶ γὰρ, ὅτι οὐ κρίσει, ἀλλὰ νόσῳ αὐτὸ ποιεῖς.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ μετὰ τῶν σπουδαίων καὶ τοὺς ἀνεπιτηδείους εὐεργετοῦντες οὐκ εὐεργεσίας δόξαν, ἀλογιστίαν δὲ μᾶλλον ὀφλισκάνουσι.

120. *Δράκων καὶ Ἀετός.* (C. 303. F. 215.)

Δράκων καὶ ἀετὸς συμπλακέντες ἀλλήλοις ἐμάχοντο· καὶ ὁ μὲν δράκων εἶχε τὸν ἀετὸν συλλαβών. Γεωργὸς δὲ ἰδὼν, λύσας τὴν πλοκὴν τοῦ δράκοντος, αὐτόνομον ἀφῆκε τὸν ἀετόν. Χαλεπήνας δὲ ἐπὶ τούτοις ὁ δράκων, ἰὸν ἀφῆκε τῷ τοῦ σώσαντος πόματι. Πιεῖν δὲ τοῦ γεωργοῦ πρὸς ἄγνοιαν μέλλοντος, ὁ ἀετὸς καταπτὰς τῶν τοῦ γεωργοῦ χειρῶν ἐξαιρεῖται τὴν κύλικα.

Τοὺς εὖ ποιοῦντας μένουσι χάριτες.

121. *Δραπέτης.* (C. 324. F. 395.)

Ὁ τὸν δραπέτην ἰδὼν διὰ χρόνου καὶ διώκων, ὡς κατέφυγε φθάσας εἰς μυλῶνα, „ποῦ δ' ἂν“ ἔφη „σὲ μᾶλλον εὑρεῖν ἐβουλήθην ἢ ἐνταῦθα;“

122. *Δρύες καὶ Ζεύς.* (F. 420. C. 356 et p. 407.)

Αἱ δρύες κατεμέμφοντο τοῦ Διὸς, λέγουσαι „ὅτι μάτην παρήχθημεν ἐν τῷ βίῳ· ὑπὲρ πάντα γὰρ τὰ φυτὰ βιαίως τὴν τομὴν ὑφιστάμεθα.“ Καὶ ὁ Ζεύς· „ὑμεῖς αὐταὶ αἴτιοι τῆς τοιαύτης ἑαυταῖς καθεστήκατε συμφορᾶς· εἰ μὴ γὰρ τοὺς στειλειοὺς ἐγεννᾶτε, καὶ πρὸς τεκτονικὴν καὶ γεωργικὴν χρήσιμοι ἦτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν.“

Αἴτιοί τινες ἑαυτοῖς τῶν κακῶν καταστάντες, τὴν μέμψιν ἀφρόνως τιθέασι τῷ θεῷ.

123. *Δρυοτόμοι καὶ Δρῦς.* (C. 179. B. 38.)

Δρυοτόμοι δρῦν ἔσχιζον, ἐξ αὐτῆς σφῆνας ποιήσαντες. Ἡ δὲ ἔφη· „οὐ τοσοῦτον τὸν κόψαντά με πέλεκυν μέμφομαι, ὅσον τοὺς ἐξ ἐμοῦ φυέντας σφῆνας.“

Ὅτι δεινότερόν ἐστι λύπη, ὅταν τις ὑπὸ τῶν συγγενῶν πάσχῃ, ἢ παρὰ τῶν ἀλλοτρίων.

123^{b}. *Ἄλλως. Πεύκη.* (F. 174. C. p. 363.)

Πρίσται δήποτε κατέσχιζον τὴν πεύκην, σφῆνας ἐξ αὐτῆς [οἱ τέκτονες] ποιοῦντες, οἷς καὶ ῥᾳδίως κατέσχιζον σανίδας. Ἡ δὲ ἐθρήνει ὀλολύζουσα οὕτως· „οὐ τοσοῦτον νῦν μέμφομαι τὴν ἀξίνην, τὴν κόπτουσάν με ταῖς χερσὶν τῶν ἀνθρώπων, ὡς τοὺς ἐξ ἐμοῦ σφῆνας γεγενημένους.“

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν συμφοραῖς περιπίπτουσι παρὰ τῶν ξένων· ἐκ δὲ τῶν ἰδίων ἐάν τι συμβῇ μικρὸν αὐτοῖς λυπηρὸν, χεῖρον καὶ βαρύτερον αὐτοῖς καταφαίνεται.

124. *Ἐλαία καὶ Συκῆ.* (C. 299. F. 212.)

Ἐλαία κατεγέλα συκῆς, ὡς αὐτὴ μὲν ἀνθοῦσα πρὸς ἅπασαν ὥραν, συκῆς δὲ τὸ ἄνθος συμμεταβαλλούσης ταῖς ὥραις. Αἷς καταῤῥυεῖσα χιὼν, τὴν μὲν ἐλαίαν κο-

μῶσαν εὑροῦσα, τοῖς θαλλοῖς ἐνιζάνουσα, σὺν τῷ κάλλει καθάπαξ ταύτην διέφθειρεν· τὴν δὲ φύλλων εὑροῦσα γυμνὴν οὐδὲν ἠδίκει, πρὸς γῆν ὑποῤῥέουσα.

Κάλλος μὴ σωφρονοῦν τοῖς κεκτημένοις καθέστηκεν ὄνειδος.

125. Ἐλάτη καὶ Βάτος. (C. 180. F. 268. B. 64.)

Ἐλάτη καυχωμένη τῇ βάτῳ ἔλεγεν· „ἐν οὐδενὶ οὐδὲν χρησιμεύεις, ὅτε ἐγὼ ἐν στέγεσί που χρησιμεύω καὶ οἴκοις.“ Ἡ δὲ βάτος ἔφη· „ὦ ἐλεεινή, μνησθεῖσα τῶν πελέκεων καὶ πριόνων τῶν κοπτόντων σε, βάτος ἂν εἶχες θελήσειν γενέσθαι, οὐκ ἐλάτη.“

Κρείσσων πενία ἄφοβος ἢ πλοῦτος μετὰ ἀναγκῶν καὶ ἐπηρειῶν.

126. Ἔλαφος. (F. 63. S. 76. C. 63 et p. 313.)

Ἔλαφος, πηρωθεῖσα τὸν ἕτερον τῶν ὀφθαλμῶν, παρεγένετο εἴς τινα αἰγιαλόν, καὶ ἐνταῦθα ἐνέμετο, τὸν μὲν ὁλόκληρον ὀφθαλμὸν πρὸς τὴν γῆν ἔχουσα, καὶ τὴν τῶν κυνηγῶν ἔφοδον παρατηρουμένη, τὸν δὲ πεπηρωμένον πρὸς τὴν θάλασσαν· ἔνθεν γὰρ οὐδένα κίνδυνον ὑφωρᾶτο. Καὶ δή τινες παραπλέοντες ἐκεῖνον τὸν τόπον, καὶ θεασάμενοι αὐτήν, κατηυστόχησαν. Ἐπεὶ δὲ ἐλειποψύχει, εἶπε πρὸς ἑαυτήν· „ἀλλ' ἔγωγε ἀθλία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη πολὺ χαλεπωτέραν ἔσχον τὴν θάλασσαν, ἐφ' ἣν κατέφυγον.“

Οὕτω πολλάκις παρὰ τὴν ἡμετέραν ὑπόληψιν τὰ μὲν χαλεπὰ τῶν πραγμάτων δοκοῦντα εἶναι ὠφέλιμα εὑρίσκονται, τὰ δὲ σωτήρια νομιζόμενα ἐπιβλαβῆ.

127. Ἔλαφος καὶ Ἄμπελος. (C. 65. F. 65. S. 78.)

Ἔλαφος, κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρ-

ξατο. Τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες καὶ, ὅπερ ἦν ἀληθὲς, νομίσαντες, τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· „δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι."

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας ὑπὸ θεοῦ κολάζονται.

128. Ἔλαφος καὶ Λέων.
(S. 75. C. 181 et p. 365. F. 66 et 209. B. 43.)

Ἔλαφος δίψει συσχεθεῖσα παρεγένετο ἐπί τινα πηγήν. Πίνουσα δὲ ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δ' αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἐδίωκεν αὐτὴν, κἀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ αὐτοῦ προεῖχε. Μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα ἐσώζετο· ἐπεὶ δὲ ἐγένετο κατά τινα ὑλώδη τόπον, τηνικαῦτα συνέβη, τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις, μὴ δυναμένην τρέχειν συλληφθῆναι τῷ λέοντι. Μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτήν· „δειλαία ἐγὼ, ἥτις, ὑφ' ὧν μὲν ᾠόμην προδοθήσεσθαι, ἐσωζόμην ὑπὸ τούτων, οἷς δὲ καὶ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπόλλυμαι."

Οὕτω πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες ἐγένοντο, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

129. Ἔλαφος καὶ Λέων. (S. 77. C. 64 et p. 314. F. 64.)

Ἔλαφος κυνηγοὺς φεύγουσα ἐγένετο κατά τι σπήλαιον, ἐν ᾧ λέων ἦν, καὶ ἐνταῦθα εἰσῄει κρυβησομένη· συλληφθεῖσα δὲ ὑπὸ τοῦ λέοντος καὶ ἀναιρουμένη εἶπε·

„δυσδαίμων ἐγὼ, ἥτις ἀνθρώπους φεύγουσα ἐμαυτὴν θηρίῳ ἐνεχείρισα.“

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φόβον ἐλαττόνων κινδύνων ἑαυτοὺς εἰς μείζονα κακὰ εἰσιᾶσιν.

130. *Ἔλαφος καὶ Μήτηρ.* (C. 297. F. 208.)

Ἔλαφον ἡ μήτηρ ἐνουθέτει, ταῦτα λέγουσα· „κέρας, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγέθει δὲ διενήνοχας σώματος, καὶ οὐκ οἶδ' ὅ,τι παθὼν ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας.“ Ταῦτα ἦν, καὶ κυνῶν δρόμος ἠκούετο πόῤῥωθεν. Ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα αὐτὴ τῆς φυγῆς προκατήρξατο.

Παραινεῖν ἕτοιμον, ἃ ποιεῖν ἀπορώτερον.

131. *Ἔλαφος νοσοῦσα.* (C. 377. F. 337. B. 46.)

Ἔλαφος νόσῳ περιπεσοῦσα, ἐπί τινος τόπου πεδινοῦ κατεκέκλιτο. Τινὰ δὲ τῶν θηρίων εἰς θέαν αὐτῆς ἐλθόντα, τὴν παρακειμένην τῇ ἐλάφῳ νομὴν κατεβοσκήθησαν· εἶτα ἐκείνη τῆς νόσου ἀπαλλαγεῖσα, τῇ ἐνδείᾳ δεινῶς κατετρύχετο, καὶ τῇ νομῇ τὸ ζῆν προσαπώλεσεν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ περιττοὺς καὶ ἀνοήτους κτώμενοι φίλους ἀντὶ κέρδους ὑπ' αὐτῶν ζημίαν μᾶλλον ὑφίστανται.

132. *Ἐλπὶς ἐν ἀνθρώποις.* (C. 360. B. 58.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν Ἐλπὶς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ Ἐλπὶς ἀνθρώποις

μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

133. Ἑορτὴ καὶ Ὑστεραία.
(Ex Plut. v. Themist. c. 18. C. 322. F. 394.)

Τῇ ἑορτῇ φασι τὴν ὑστεραίαν ἐρίσαι λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστὶν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν πρὸς ταῦτ' εἰπεῖν· „ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης, σὺ οὐκ ἂν ἦσθα.“

134. Ἔριφος καὶ Λύκος. (S. 98. C. 94 et p. 318. F. 74.)

Ἔριφος ὑστερήσας ἀπὸ ποίμνης ὑπὸ λύκου κατεδιώκετο· ἐπιστραφεὶς δὲ ὁ ἔριφος λέγει τῷ λύκῳ· „πέπεισμαι, λύκε, ὅτι σὸν βρῶμά εἰμι· ἀλλ' ἵνα μὴ ἀδόξως ἀποθάνω, αὔλησον, ὅπως ὀρχήσωμαι.“ Αὐλοῦντος δὲ τοῦ λύκου καὶ τοῦ ἐρίφου ὀρχουμένου, οἱ κύνες ἀκούσαντες καὶ ἐξελθόντες τὸν λύκον ἐδίωκον· ὁ δὲ ἐπιστραφεὶς λέγει τῷ ἐρίφῳ· „ταῦτα ἐμοὶ καλῶς γίνεται· ἔδει γάρ με, μακελλάριον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.“

Οὕτως οἱ παρὰ γνώμην τοῦ καιροῦ τι πράττοντες καὶ ὧν ἐν χερσὶν ἔχουσιν ὑστεροῦνται.

135. Ἔριφος καὶ Λύκος. (C. 139. F. 75. B. 96.)

Ἔριφος ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν· ὁ δὲ λύκος ἔφη· „ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.“

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

136. Ἑρμῆς. (C. 103. F. 255.)

Ζεὺς Ἑρμῆν προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχεῖν. Ὁ δὲ, τοῦτο τρίψας καὶ μέτρον ποιήσας ἴσον, ἑκάστῳ ἐνέχεεν. Ἐπεὶ δὲ, μόνου

τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν ἐνέχεεν αὐτῷ. Κἀκ τούτου συνέβη, τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Ὁ μῦθος πρὸς ψευδολόγους τεχνίτας.

137. Ἑρμῆς καὶ Ἀγαλματοποιός. (S. 89. C. 90. F. 243.)

Ἑρμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ᾽ ἀνθρώποις ἐστὶν, ἧκεν ἀφομοιωθεὶς ἀνθρώπῳ εἰς ἀγαλματοποιοῦ ἐργαστήριον· καὶ θεασάμενος Διὸς ἄγαλμα ἐπύθετο, πόσου· τοῦ δὲ εἰπόντος „δραχμῆς," γελάσας ἠρώτα τῆς Ἥρας πόσου ἐστίν· εἰπόντος δὲ ἔτι μείζονος, θεασάμενος καὶ ἑαυτοῦ ἄγαλμα ὑπέλαβεν, ὅτι αὐτὸν, ἐπειδὴ καὶ ἄγγελός ἐστι καὶ ἐπικερδὴς, περὶ πολλοῦ οἱ ἄνθρωποι ποιοῦνται. Διὸ προσεπυνθάνετο ὁ Ἑρμῆς, καὶ ὁ ἀγαλματογλύφος ἔφη· „ἀλλ᾽ ἐὰν τούτους ἀγοράσῃς, τοῦτόν σοι προσθήκην δώσω."

Πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμιᾷ μοίρᾳ παρὰ τοῖς ἄλλοις ὄντα, ὁ λόγος ἁρμόζει.

138. Ἑρμῆς καὶ Γῆ. (S. 102. C. 182. F. 269.)

Ζεὺς πλάσας ἄνδρα καὶ γυναῖκα ἐκέλευσεν Ἑρμῇ ἀγαγεῖν αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ δεῖξαι ὅθεν ὀρύξαντες πλεῖον ποιήσουσι. Τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος, ἡ γῆ τὸ μὲν πρῶτον ἐκώλυεν· ὡς δὲ ὁ Ἑρμῆς ἠνάγκαζε λέγων, τὸν Δία προστεταχέναι· „ἀλλ᾽ ὀρυσσέτωσαν;" ἔφη, „ὅσην βούλονται· στένοντες γὰρ αὐτὴν καὶ κλαίοντες ἀποδώσουσιν."

Πρὸς τοὺς ῥᾳδίως δανειζομένους καὶ μετὰ λύπης ἀποδιδόντας ὁ λόγος εὔκαιρος.

139. Ἑρμῆς καὶ Κύων. (B. 48.)

Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος εἱστήκει,
λίθων δ᾽ ὑπ᾽ αὐτῷ σωρὸς ἦν. κύων τούτῳ

εἶπε προσελθών· „χαῖρε πρῶτον, Ἑρμεία·
ἔπειτ' ἀλεῖψαι βούλομαί σε, μηδ' οὕτω
θεὸν παρελθεῖν, καὶ θεὸν παλαιστρίτην.“
ὁ δ' εἶπεν· „ἂν μὴ τοῦτό μοὐπιλιχμήσῃς
τοὔλαιον ἐλθὼν, μηδέ μοι προσουρήσῃς,
χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα.“

Ὅτι τοῖς κακοῖς ἀρκεῖ τέως, οὐκ ἄλλως πως δυναμένοις δρᾶσαι τὰ βελτίω, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσαι.

140. *Ἑρμῆς καὶ Τειρεσίας.* (S. 90. C. 91. F. 244.)

Ἑρμῆς βουλόμενος τὴν Τειρεσίου μαντικὴν πειρᾶσαι, εἰ ἀληθής ἐστι, κλέψας αὐτοῦ τοὺς βόας ἐξ ἀγροῦ, ἧκε πρὸς αὐτὸν εἰς ἄστυ, ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ ἐπεξενώθη παρ' αὐτῷ. Παραγγελθείσης δὲ τῷ Τειρεσίᾳ τῆς τοῦ ζεύγους ἀπωλείας, παραλαβὼν τὸν Ἑρμῆν ἧκεν εἰς τὸ προάστειον, οἰωνόν τινα περὶ τῆς κλοπῆς σκεψόμενος, καὶ τούτῳ παρῄνει λέγειν ὅ τι ἂν θεάσηται ὄρνεον. Καὶ ὁ Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν, ἐξ ἀριστερῶν ἐπὶ δεξιὰ παριπτάμενον, ἀπήγγειλε αὐτῷ. Τοῦ δὲ εἰπόντος, μὴ πρὸς αὐτοὺς τοῦτον εἶναι, ἐκ δευτέρου ἰδὼν κορώνην, ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ εἰς γῆν κύπτουσαν, ἐδήλωσεν αὐτῷ. Ὁ δὲ ὑποτυχὼν ἔφη· „ἀλλ' αὕτη ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι, ἐὰν σὺ θέλῃς, τοὺς ἐμαυτοῦ βόας ἀπολήψομαι.“

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

141. *Ἑρμοῦ ἅμαξα καὶ Ἄραβες.* (F. 349. C. 403. ex B. 57.)

Ἑρμῆς ποτε ψεύσματα καὶ πανουργίας θεὶς εἰς ἅμαξαν, εἰς πᾶσαν γῆν ἀπῄει. Ὡς δὲ Ἀράβων κατήν-

τησε τὴν χώραν, συντρίβει (συντριβῆναι λέγουσι?) τὴν ἅμαξαν κενὴν φορτίων· οἱ δὲ εἰς ἄλλους τόπους οὐκ εἴασαν ὁδεῦσαι. [οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι.]

142. Ἔρως ἐν ἀνθρώποις.
(C. 396. F. 406. ex Himerii Soph. X, c. 6.)

Ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησεν, τὰ μὲν ἄλλα πάντα εἶχον, ὡς νῦν κεκόσμηνται, Ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο, ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον, οὐρανῷ τε ἐνωμίλει καὶ εἰς θεοὺς μόνους ἐτόξευεν. Δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, Ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. Ὁ δὲ ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβών, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι, ἢ πᾶν ἐπίσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος, οὐκ ἐδοκίμαζεν· ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς ταῖς πανδήμοις Ἔρωσι, τοῖς τῶν νυμφῶν παισί, ποιμαίνειν ἀπένεμεν, αὐτὸς δὲ ταῖς θείαις καὶ οὐρανίαις ψυχαῖς ἐνῳκίσατο, καὶ ταύτας ἀναβακχεύων ἐπὶ μανίαν ἐρωτικήν, μυρία ἀγαθὰ τὸ τῶν ἀνθρώπων γένος εἰργάσατο. Ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδύν τε τὴν φύσιν καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον, ὅτι τῶν Ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς οὗτος ἠξίωται· ὅταν δὲ ὀξὺν καὶ θερμὸν τὴν γνώμην, καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν ἅττοντα, νόησον τοῦτο εἶναι ἐκείνου ξένιον τοῦ Ἔρωτος.

143. Εὐνοῦχος καὶ Θύτης. (B. 54.)

Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων
σκεψόμενος. ὁ θύτης δ' ἁγνὸν ἧπαρ ἁπλώσας
„ὅταν μὲν“ εἶπε „τοῦτ' ἴδω, πατὴρ γίγνῃ·
ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ' ἀνὴρ φαίνῃ.“

Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους ἢ καὶ ἄλλως μὴ δυναμένων γενέσθαι.

144. *Ἐχθροί.* (S. 68. F. 58. C. p. 294.)

Δύο ἐχθροὶ ἐν μιᾷ νηῒ ἔπλεον· βουλόμενοι δ' ἀλλήλων πολὺ διεζεῦχθαι, ὥρμησαν ὁ μὲν ἐπὶ τὴν πρώραν, ὁ δὲ ἐπὶ τὴν πρύμναν, καὶ ἐνταῦθα ἔμενον. Χειμῶνος δὲ σφοδροῦ καταλαβόντος, καὶ τῆς νεὼς περιτρεπομένης, ὁ ἐν τῇ πρύμνῃ ἐπυνθάνετό τινος, περὶ ποῖον μέρος καταδύεται τὸ σκάφος πρῶτον κινδυνεῦον· τοῦ δὲ εἰπόντος „κατὰ τὴν πρώραν," ἔφη· „ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατός ἐστιν, εἴγε ὁρᾶν μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον."

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ τὴν πρὸς ἐχθροὺς δυσμένειαν αἱροῦνται καὶ αὐτοὶ τὸ δεινὸν πάσχειν, χάριν τοῦ κἀκείνους ὁρᾶν δυστυχήσαντας.

144ᵇ. *Ἄλλως.* (C. 27.)

Δύο τινὲς, ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον, ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. Χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. Τοῦ δὲ „τὴν πρώραν" εἰπόντος, „ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρὸν" εἶπεν „ὁ θάνατος, εἴγε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα."

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, ἐὰν τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

145. *Ἔχις καὶ Ἀλώπηξ.* (S. 97. C. 183. F. 270.)

Ἔχις ἐπὶ δέσμῃ ἀκανθῶν εἴς τινα ποταμὸν ἐφέ-

ρετο· ἀλώπηξ δὲ παριοῦσα ὡς ἐθεάσατο αὐτὸν, εἶπεν· „ἄξιος τῆς νεὼς ὁ ναύκληρος."

Πρὸς ἄνδρα πονηρὸν μοχθηροῖς πράγμασιν ἐπιχειρήσαντα ὁ λόγος ἁρμόσειεν ἄν.

146. Ἔχις καὶ Ῥίνη. (S. 94. C. 184. F. 271.)

Ἔχις εἰσελθὼν εἰς χαλκουργοῦ ἐργαστήριον παρὰ τῶν σκευῶν ἔρανον ᾔτει· λαβὼν δὲ παρ' αὐτῶν ἧκε πρὸς τὴν ῥίνην, καὶ ταύτην παρεκάλει δοῦναί τι αὐτῷ. Ἡ δὲ ὑποτυχοῦσα εἶπεν· „ἀλλ' εὐήθης εἶ παρ' ἐμοῦ ἀποίσεσθαί τι οἰόμενος, ἥτις οὐ διδόναι ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα."

Ὁ λόγος δηλοῖ, ὅτι μάταιοί εἰσιν οἱ παρὰ φιλαργύρων τι κερδαίνειν προσδοκῶντες.

147. Ἔχις καὶ Ὕδρα. (S. 91. C. 185. F. 272.)

Ἔχις φοιτῶν ἐπί τινα κρήνην, ἔπινεν· ἡ δὲ ἐνταῦθα οἰκοῦσα ὕδρα ἐκώλυεν αὐτόν, ἀγανακτοῦσα εἴγε μὴ ἀρκεῖται τῇ ἰδίᾳ νομῇ, ἀλλὰ καὶ ἐπὶ τὴν ἑαυτῆς δίαιταν ἀφικνεῖται. Ἀεὶ δὲ τῆς φιλονεικίας αὐξανομένης, συνέθεντο ὅπως εἰς μάχην ἀλλήλοις καταστῶσι, καὶ τοῦ νικῶντος ἥ τε τῆς γῆς καὶ τοῦ ὕδατος νομὴ γένηται. Ταξαμένων δ' αὐτῶν τὴν προθεσμίαν, οἱ βάτραχοι διὰ μῖσος τῆς ὕδρας παραγενόμενοι πρὸς τὸν ἔχιν παραθαῤῥύνουσιν αὐτόν, ἐπαγγελλόμενοι καὶ αὐτοὶ συμμαχήσειν αὐτῷ. Ἐνσταθείσης δὲ τῆς μάχης ὁ μὲν ἔχις πρὸς τὴν ὕδραν ἐπολέμει, οἱ δὲ βάτραχοι, μηδὲν περαιτέρω δυνάμενοι δρᾶν, μεγάλα ἐκεκράγεισαν. Καὶ ὁ ἔχις νικήσας ᾐτιάσατο αὐτούς, ὅτι συμμαχήσειν αὐτῷ ὑποσχόμενοι παρὰ τὴν μάχην οὐ μόνον οὐκ ἐβοήθουν, ἀλλὰ καὶ ᾖδον. Οἱ δὲ ἔφασαν πρὸς αὐτόν· „ἀλλ' εὖ ἴσθι, ὦ οὗτος, ὅτι ἡ ἡμετέρα συμμαχία οὐ διὰ χειρῶν, ἀλλὰ διὰ μόνης φωνῆς καθέστηκεν."

Ὁ λόγος δηλοῖ, ὅτι, ἔνθα χειρῶν χρεία ἐστὶν, ἡ διὰ λόγων βοήθεια οὐδὲν λυσιτελεῖ.

148. *Ζεὺς καὶ Αἰσχύνη.* (S. 108. C. 104. F. 256.)

Ζεὺς πλάσας ἀνθρώπους τὰς μὲν ἄλλας διαθέσεις εὐθὺς αὐτοῖς ἐνέθηκε, μόνης δὲ αἰσχύνης ἐπελάθετο. Διόπερ ἀμηχανῶν, πόθεν αὐτὴν εἰσαγάγῃ, ἐκέλευσεν αὐτὴν διὰ τοῦ ἀρχοῦ εἰσελθεῖν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγε καὶ ἠναξιοπάθει· ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη· „ἀλλ' ἔγωγε ἐπὶ τοιαύταις ὁμολογίαις εἴσειμι, ὡς, ἂν ἕτερόν μοι ἐπεισέλθῃ, εὐθέως ἐξελεύσομαι.“ Ἀπὸ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα πόρνον.

149. *Ζεὺς καὶ Ἀλώπηξ.* (S. 106. C. 186. F. 273.)

Ζεὺς ἀγασάμενος ἀλώπεκος τὸ συνετὸν τῶν φρενῶν καὶ τὸ ποικίλον, τὸ βασίλειον αὐτῇ τῶν ἀλόγων ζώων ἐνεχείρισε. Βουλόμενος δὲ γνῶναι, εἰ τὴν τύχην μεταλλάξασα μετεβάλετο καὶ τὴν ἕξιν, φερομένης ἐν φορείῳ, κάνθαρον παρὰ τὴν ὄψιν ἀφῆκεν. Ἡ δὲ ἀντισχεῖν μὴ δυναμένη, ἐπειδὴ περιίπτατο, τοῦ φορείου ἀναπηδήσασα ἀκόσμως συλλαβεῖν αὐτὸν ἐπειρᾶτο. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῆς πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν τάξιν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φαῦλοι τῶν ἀνθρώπων, κἂν τὰ προσχήματα λαμπρότερα ἀναλάβωσι, τὴν γοῦν φύσιν οὐ μετατίθενται.

150. *Ζεὺς καὶ Ἄνθρωποι.* (S. 107.)

Ζεὺς πλάσας ἀνθρώπους ἐκέλευσεν Ἑρμῇ νοῦν αὐτοῖς ἐγχέαι· κἀκεῖνος μέτρον ἴσον ποιήσας ἑκάστῳ ἐνέχεε. Συνέβη οὖν τοὺς μὲν μικροφυεῖς πληρωθέντας

τοῦ μέτρου φρονίμους γενέσθαι, τοὺς δὲ μακροὺς, ἅτε μὴ ἐφικομένου τοῦ ποτοῦ μηδὲ εἰς πᾶν τὸ σῶμα, ἀλλὰ μέχρι γονάτων, ἀφρονεστέρους γενέσθαι.

Πρὸς ἄνδρα εὐμεγέθη τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον ὁ λόγος εὔκαιρος.

151. Ζεὺς καὶ Ἀπόλλων.
(S. 103. C. 187 et p. 366. F. 274 et 351. B. 68.)

Ζεὺς καὶ Ἀπόλλων περὶ τοξικῆς ἤριζον· τοῦ δὲ Ἀπόλλωνος ἐκτείναντος τὸ τόξον καὶ τὸ βέλος ἀφέντος, Ζεὺς τοσοῦτον διέβη, ὅσον Ἀπόλλων ἐτόξευσεν.

Οὕτως οἱ τοῖσι κρείττοσιν ἀνθαμιλλώμενοι γέλωτος ἄξιοί εἰσιν.

152. Ζεὺς κριτής. (C. 366 et p. 412. F. 365. B. 129.)

Ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀστράκοις τὸν Ἑρμῆν ὥρισε γράφειν, καὶ εἰς κιβωτὸν ἀποτιθέναι πλησίον αὐτοῦ, ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ. Συγκεχυμένων δὲ τῶν ὀστράκων ἐπ' ἀλλήλοις, τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει εἰς τὰς τοῦ Διὸς χεῖρας, εἴποτε καλῶς κρίνοι.

Τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν, ἂν θᾶσσον ἀδικῶν τις, ὀψὲ κακῶς πράσσῃ.

153. Ζεὺς καὶ Ὄφις. (F. 184. C. 189 et p. 368.)

Τοῦ Διὸς γάμους ποιοῦντος, πάντα τὰ ζῶα ἀνήνεγκαν δῶρα, ἕκαστον κατὰ τὴν οἰκείαν δύναμιν· ὄφις δὲ ἕρπων, ῥόδον λαβὼν ἐν τῷ στόματι, ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· „τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος λαμβάνω οὐδ' ὅλως.“

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

153^b^. *Ἄλλως.* (S. 218.)

Τοῦ Διὸς γαμοῦντος πάντα τὰ ζῶα ἀνήνεγκαν δῶρα· ὄφις δὲ ἕρπων ῥόδον ἀναλαβὼν τῷ στόματι ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· „τῶν ἄλλων ἁπάντων καὶ ἐκ ποδῶν δῶρα δέχομαι, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω.“

Ὁ λόγος δηλοῖ, ὅτι πάντων τῶν πονηρῶν αἱ χάριτες φοβεραί.

154. *Ζεὺς καὶ Χελώνη.* (S. 105. C. 105 et p. 318. F. 79.)

Ζεὺς, γάμους τελῶν, συγκαλεσάμενος τὰ ζῶα πάντα εἱστία. Μόνης δὲ χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῇ ὑστεραίᾳ ἐπυνθάνετο αὐτῆς· „διὰ τί μόνη ἐπὶ τὸ δεῖπνον οὐκ ἦλθες;“ Τῆς δὲ εἰπούσης „φίλος οἶκος ἄριστος οἶκος,“ ἀγανακτήσας κατ᾽ αὐτῆς παρεσκεύασεν αὐτὴν τὸν οἶκον αὐτὸν βαστάζουσαν περιφέρειν.

Οὕτω πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται λιτῶς οἰκεῖν ἢ παρ᾽ ἄλλοις πολυτελῶς διαιτᾶσθαι.

155. *Ζεὺς, Προμηθεὺς, Ἀθηνᾶ, Μῶμος.*
(S. 100. C. 190. F. 275. B. 59.)

Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ κατασκευάσαντες, ὁ μὲν ταῦρον, ὁ Προμηθεὺς ἄνθρωπον, ἡ δὲ οἶκον, Μῶμον κριτὴν εἵλοντο. Ὁ δὲ, φθονήσας τοῖς δημιουργήμασιν, ἀχθόμενος ἔλεγε· τὸν μὲν Δία ἡμαρτηκέναι, τοῦ ταύρου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῖς κέρασι μὴ θέντα, ἵνα βλέπῃ ποῦ τύπτει· τὸν δὲ Προμηθέα, διότι ἀνθρώπου τὰς φρένας οὐκ ἔξωθεν ἀπεκρέμασεν, ἵνα μὴ λανθάνωσιν οἱ πονηροὶ, φανεροῦντες, εἴ τι ἕκαστος κατὰ νοῦν ἔχει. Τρίτον δὲ ἔλεγεν, ὡς ἔδει τὴν Ἀθηνᾶν τῷ οἴκῳ τροχοὺς ὑποθεῖναι, ἵνα, ἐὰν πονηρῷ τις παροι-

κισθῇ γείτονι, ῥᾳδίως μεταβαίνῃ. Καὶ ὁ Ζεύς, ἀγανακτήσας κατ' αὐτοῦ ἐπὶ τῇ βασκανίᾳ, τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλεν.

Ὁ λόγος δηλοῖ, ὅτι οὐδὲν οὕτως ἐστὶν ἐνάρετον, ὃ μὴ πάντως περί τι ψόγον ἐπιδέχεται.

155ᵇ. Ἄλλως. Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ. (C. 190. p. 120.)

Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ ἔριν ἐποιήσαντο, τίς κάλλιόν τι ποιήσει. Καὶ ὁ μὲν Ζεὺς ἄνθρωπον εὐπρεπέστατον ἐποίησεν, ὁ δὲ Ποσειδῶν ταῦρον, ἡ δὲ Ἀθηνᾶ οἶκον ἀνθρώποις· κριτὴς δ' ἦν ἐπὶ τούτοις Μῶμος. Καὶ πρῶτον μὲν ἔψεγε τὴν θέσιν τῶν κεράτων τοῦ ταύρου, κάτωθεν τῶν ὀμμάτων λέγων ὀφείλειν κεῖσθαι, ὡς ἂν βλέπῃ, ποῦ τύπτει· τοῦ δέ γε τὰς φρένας [ἀνθρώπου] καὶ τὰς βουλὰς φανερὰς εἶναι, ὡς ἂν διαγινώσκηται, τί βουλεύεται ἕκαστος· τῆς δὲ οἰκίας, ὅτι μὴ τροχοὺς σιδηροῦς αὐτῇ ἐποίησεν, ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει καὶ γείτονα πονηρὸν ἐξέφευγεν.

156. Ἡδονὴ καὶ Λύπη. (C. 392. ex Plat. Phaed. p. 60, B.)

Ὡς ἄτοπον, ἔφη Σωκράτης, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο, ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς συνημμένω δύ' ὄντε. Καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, ξυνῆψεν εἰς ταὐτὸν αὐτοῖς τὰς κορυφάς, καὶ διὰ ταῦτα, ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον.

157. Ἡμίονος. (F. 83. C. 140 et p. 338. B. 62.)

Ἡμίονός τις ἐκ κριθῆς παχυνθεῖσα, ἀνεσκίρτησε, καθ᾽ ἑαυτὴν βοῶσα· πατήρ μού ἐστιν ἵππος ὁ ταχυδρόμος, κἀγὼ δὲ αὐτῷ ὅλη ἀφωμοιώθην. Καὶ δὴ ἐν μιᾷ ἀνάγκης ἐπελθούσης, ἠναγκάζετο ἡ ἡμίονος τρέχειν· ὡς δὲ τοῦ δρόμου ἐπέπαυτο, σκυθρωπάζουσα πατρὸς τοῦ ὄνου εὐθὺς ἀνεμνήσθη.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ, κἂν ὁ χρόνος ἐνέγκῃ τινὰ εἰς δόξαν, τῆς ἑαυτοῦ ἀρχῆς μὴ ἐπιλαθέσθαι· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

158. Ἡρακλῆς, Ἀρετὴ καὶ Κακία.
(C. 393. ex Xenoph. Comment. II, 1, §. 21 sqq.)

Πρόδικος ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ Ἡρακλέους ὧδε περὶ Ἀρετῆς ἀπεφαίνετο· φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δ᾽ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. Ὡς δ᾽ ἐγένοντο πλησιαίτε-

ρον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δ' ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· „Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσει. Πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διοίσει, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσει, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι· πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω.“ Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα „ὦ γύναι,“ ἔφη „ὄνομα δέ σοι τί ἐστιν;“ Ἡ δέ „οἱ μὲν ἐμοὶ φίλοι“ ἔφη „καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν.“ Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· „Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. Οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ

ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι." Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν· „ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε." Καὶ ἡ Ἀρετὴ εἶπεν· „ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα, (καὶ) ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζει καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζει· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ,τι ποιῇς ὕπνου ἐπιθυμεῖς. Τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγ-

κάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς σεαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα. Ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζει· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσοι τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτ' ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται· τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκει, ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν· ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως

μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι."

Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν. Ὑμῖν δ' οὖν ἄξιον, ὦ νέοι, τούτων ἐνθυμουμένοις πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

159. Ἡρακλῆς καὶ Ἀθηνᾶ. (C. 308. F. 419.)

Διὰ στενῆς ὁδοῦ ὥδευεν Ἡρακλῆς. Ἰδὼν δ' ἐπὶ γῆς μήλῳ ὅμοιόν τι, ἐπειρᾶτο συντρῖψαι. Ὡς δὲ εἶδε διπλοῦν γενόμενον, ἔτι μᾶλλον ἐπέθετο, καὶ τῷ ῥοπάλῳ ἔπαιεν. Τὸ δὲ φυσηθὲν εἰς μέγεθος τὴν ὁδὸν ἐπέφραξεν. Ὁ δὲ ῥίψας τὸ ῥόπαλον ἵστατο θαυμάζων. Ἀθηνᾶ δὲ, αὐτῷ ἐπιφανεῖσα, εἶπε· „πέπαυσο, ἀδελφέ· τοῦτ' ἔστι φιλονεικία καὶ ἔρις· ἄν τις αὐτὸ καταλείπῃ ἀμάχητον, μένει οἷον ἦν πρῶτον, ἐν δὲ ταῖς μάχαις οὕτως οἰδεῖται."

Ὅτι αἱ μάχαι καὶ ἔριδες αἰτίαι μεγάλης βλάβης ὑπάρχουσιν.

160. Ἡρακλῆς καὶ Πλοῦτος. (S. 110. C. 191. F. 276.)

Ἡρακλῆς ἰσοθεωθεὶς καὶ παρὰ Διὶ ἑστιώμενος ἕνα ἕκαστον τῶν θεῶν μετὰ πολλῆς φιλοφροσύνης ἠσπάζετο. Καὶ δὴ τελευταίου εἰσιόντος τοῦ Πλούτου, κατὰ τοῦ ἐδάφους κύψας ἀπεστρέψατο αὐτόν. Ὁ δὲ Ζεὺς θαυμάσας τὸ γεγονὸς, ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν,

δι' ἣν πάντας ἀσμένως προσαγορεύσας μόνον τὸν Πλοῦτον ὑποβλέπεται. Ὁ δὲ εἶπεν· „ἀλλ' ἔγωγε διὰ τοῦτο αὐτὸν ὑποβλέπομαι, ὅτι παρ' ὃν καιρὸν ἐν ἀνθρώποις ἤμην, ἑώρων αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς πονηροῖς συνόντα.“

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρὸς πλουσίου μὲν τὴν τύχην, πονηροῦ δὲ τὸν τρόπον.

161. Ἥρως. (S. 109. F. 80. C. 399. B. 63.)

Ἡρωά τις ἐπὶ τῆς οἰκίας ἔχων τούτῳ πολυτελῶς ἔθυεν· ἀεὶ δ' αὐτοῦ ἐξαναλισκομένου καὶ πολλὰ εἰς θυσίας δαπανῶντος ὁ ἥρως ἐπιστὰς αὐτῷ νύκτωρ ἔφη· „ἀλλ' ὦ οὗτος, πέπαυσο διατρίβων τὴν οὐσίαν· ἐὰν γὰρ πάντα ἀναλώσῃς καὶ πένης γένῃ, ἐμὲ αἰτιάσῃ.“

Οὕτως πολλοὶ διὰ τὴν ἑαυτῶν ἀβουλίαν δυστυχοῦντες τὴν αἰτίαν ἐπὶ τοὺς θεοὺς ἀναφέρουσιν.

162. Θεῶν γάμοι. (C. 361. B. 70.)

Θεοὶ πάντες ἔγημαν ἣν ἕκαστος εἰλήχει κλήρῳ. Πόλεμος παρῆν ἐσχάτῳ κλήρῳ· Ὕβριν δὲ μόνην κατέλαβε, καὶ ταύτης περισσῶς ἐρασθεὶς ἔγημεν. Ἐπακολουθεῖ δὲ αὐτῇ πανταχοῦ βαδιζούσῃ.

163. Θηρευτὴς καὶ Ἱππεύς. (C. 352. F. 345.)

Ἀνήρ τις θηρευτής, λαγωὸν κατασχὼν καὶ τοῦτον ἐπιφερόμενος, τῆς ὁδοιπορίας εἴχετο, καί τινι προσυπαντηθεὶς ἐφίππῳ ἀνδρί, ἐξητεῖτο παρ' αὐτοῦ τὸν λαγωόν, προσχήματι ἀπεμπολήσεως. Λαβὼν τοίνυν ὁ ἱππεὺς τὸν λαγωὸν ἀπὸ τοῦ θηρευτοῦ, εὐθὺς δρομαῖος ᾤχετο· ὁ δὲ θηρευτὴς κατόπιν αὐτοῦ τρέχων, φθάσαι αὐτὸν δῆθεν ἐδόκει. Τοῦ δὲ ἱππέως ἐκ πολλοῦ τοῦ διαστήματος μακρὰν ἐκείνου ἀπέχοντος, ὁ θηρευτὴς καὶ

ἄκων φωνεῖ πρὸς αὐτὸν καί φησιν· „ἄπιθι λοιπόν· ἐγὼ γὰρ ἤδη τὸν λαγωὸν ἐδωρησάμην σοι.“

Ὁ μῦθος δηλοῖ, ὡς πολλοὶ ἀκουσίως τὰ ἴδια ἀφαιρούμενοι, προσποιοῦνται δῆθεν ἑκοντὶ ταῦτα δεδωκέναι.

164. *Θηρευτὴς καὶ Κύων.* (C. 378. F. 338.)

Ἀνὴρ θηρευτὴς παρερχόμενον κύνα ἰδὼν, διηνεκῶς αὐτῷ ψωμοὺς προσεπέῤῥιπτε. Λέγει οὖν πρὸς τὸν ἄνδρα ὁ κύων· „ἄνθρωπε, ἄπιθι ἐξ ἐμοῦ· ἡ γὰρ πολλή σου εὔνοια μᾶλλόν με τὰ μέγιστα θροεῖ.“

Ὁ μῦθος δηλοῖ, ὡς οἱ πολλὰ δῶρά τισι παρεχόμενοι δῆλοί εἰσι τὴν ἀλήθειαν ἀνατρέποντες.

165. *Θηρευτὴς καὶ Λύκος.* (C. 372. F. 331.)

Ἀνήρ τις θηρευτὴς, λύκον θεασάμενος προσβάλλοντα τῇ ποίμνῃ, καὶ πλεῖστα τῶν προβάτων, ὡς δυνατὸν, διασπαράττοντα, τοῦτον εὐμηχάνως θηρεύει, καὶ τοὺς κύνας αὐτῷ ἐπαφίησι, φθεγξάμενος πρὸς αὐτόν· „ὦ δειλότατον θηρίον, ποῦ σου ἡ προσβαλοῦσα ἰσχὺς, ὅτι τοῖς κυσὶν ὅλως ἀντιστῆναι οὐκ ἠδυνήθης;

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστος ἐν τῇ ἰδίᾳ τέχνῃ καθέστηκε δόκιμος.

166. *Πατὴρ καὶ Θυγατέρες.* (S. 95. C. 265 et p. 394. F. 77.)

Ἔχων τις δύο θυγατέρας τὴν μὲν κηπωρῷ ἐξέδωκε πρὸς γάμον, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος ἧκε πρὸς τὴν τοῦ κηπωροῦ, καὶ ταύτην ἠρώτα, πῶς ἔχοι καὶ ἐν τίνι αὐτοῖς εἴη τὰ πράγματα. Τῆς δὲ εἰπούσης, πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς, ὅπως χειμὼν γένηται καὶ ὄμβρος, ἵνα τὰ λάχανα ἀρδευθῇ· μετ’ οὐ πολὺ παρεγένετο καὶ πρὸς τὴν τοῦ κεραμέως, καὶ ὡσαύτως ἐπυνθάνετο, πῶς

ἔχοι. Τῆς δὲ τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι εἰπούσης, τοῦτο δὲ μόνον εὔχεσθαι, ὅπως αἰθρία τε λαμπρὰ ἐπιμείνῃ καὶ λαμπρὸς ἥλιος, ἵνα ξηρανθῇ ὁ κέραμος, εἶπε πρὸς αὐτήν· „ἐὰν σὺ μὲν εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποτέρᾳ ὑμῶν συνεύξωμαι;“

Οὕτως οἱ ἐν ταὐτῷ τοῖς ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες εἰκότως περὶ τὰ ἑκάτερα πταίουσιν.

166[b]. Ἄλλως. Μήτηρ καὶ Θυγατέρες. (C. 265. p. 176.)

Γυνή τις, θυγατέρων οὖσα δυοῖν μήτηρ, ἀνδράσι συνῆψε ταύτας, τὴν μὲν κηπωρῷ, θατέραν δὲ κεραμεῖ. Ἐλθοῦσα τοίνυν ποτὲ πρὸς τὴν τῷ κηπωρῷ γεγαμημένην, τά τε ἄλλα ὡμίλει, καὶ πῶς ἔχοι διηρώτα. Ἡ δὲ „τὰ μὲν ἄλλα, μῆτερ,“ ἔφη „καλῶς· εὔχου δὲ ὄμβρων φορὰν, ὡς τοῖς λαχάνοις αὔξησις ἡ κατὰ νόμους προσγένοιτο.“ Ἐκεῖθεν δ᾽ ἐξελθοῦσα, καὶ πρὸς τὴν συνοικοῦσαν τῷ κεραμεῖ ἀφικνεῖται. Τοῖς δ᾽ αὐτοῖς χρησαμένη καὶ πρὸς ἐκείνην, ἤκουσεν ὡς „τὰ μὲν ἄλλα καλῶς ἡμῖν, ὦ μῆτερ, ἔχει· εὔχου δ᾽ αἰθρίαν ἡμῖν καὶ ἡλίους γίνεσθαι θερμοτέρους τε καὶ καθαρωτέρους, ὡς ἂν θᾶττον οἱ κέραμοι ψύχοιντο.“ Καὶ ἡ μήτηρ πρὸς ταῦτα ἔφη· „σοὶ μὲν αἰθρίαν, τῇ δὲ τῷ κηπωρῷ συνοικούσῃ παμπόλλους ὑετοὺς δοῖεν οἱ θεοί.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μηδὲν ἐκ τῶν ἰδίων ἔχουσι χαρίζεσθαι, ῥᾳδίως τοῖς αἰτοῦσι τὰ τῶν ἄλλων ἐπαγγέλλονται.

167. Θύννος καὶ Δελφίν. (S. 112. C. 30. F. 85.)

Θύννος, διωκόμενος ὑπὸ δελφῖνος καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ τῆς σφοδρᾶς ὁρμῆς ἐκκρουσθεὶς εἴς τινα ᾐόνα· ὑπὸ τῆς αὐτῆς δὲ φορᾶς ἐλαυνόμενος καὶ ὁ δελφὶν αὐτῷ συνεξώσθη. Καὶ ὁ θύννος, ὡς ἐθεάσατο ἐπι-

στραφεὶς αὐτὸν λειποψυχοῦντα, ἔφη· „ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος· ὁρῶ γὰρ καὶ τὸν αἴτιόν μου τοῦ θανάτου γενόμενον συναποθνήσκοντα.“

Ὁ λόγος δηλοῖ, ὅτι ῥᾷον φέρουσι τὰς συμφορὰς οἱ ἄνθρωποι, ὅταν ἴδωσι καὶ τοὺς αἰτίους τούτων συναποθνήσκοντας.

168. Ἰατρὸς ἄτεχνος. (C. 192. F. 277. B. 75.)

Ἰατρὸς ἦν ἄτεχνος. Οὗτος ἀῤῥώστῳ παρακολουθῶν, πάντων ἰατρῶν λεγόντων αὐτῷ μὴ κινδυνεύειν, ἀλλὰ χρονίσειν ἐν τῇ νόσῳ, οὗτος μόνος ἔφη αὐτῷ, πάντα τὰ αὑτοῦ ἑτοιμάσαι· „τὴν αὔριον γὰρ οὐχ ὑπερβήσῃ.“ Ταῦτα εἰπὼν ὑπεχώρησε. Μετὰ χρόνον δέ τινα ἀναστὰς ὁ νοσῶν προῆλθεν, ὠχρὸς καὶ μόλις βαδίζων. Ὁ δὲ ἰατρὸς ἐκεῖνος συναντήσας αὐτῷ „χαῖρε,“ ἔφη· „πῶς ἔχουσιν οἱ κάτω;“ Κἀκεῖνος εἶπεν· „ἠρεμοῦσι, πιόντες τὸ τῆς λήθης ὕδωρ. Πρὸ ὀλίγου δὲ ὁ Θάνατος καὶ ὁ Ἅιδης δεινὸν ἠπείλουν τοὺς ἰατροὺς πάντας, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνήσκειν, καὶ κατεγράφοντο πάντας. Ἔμελλον δὲ καὶ σὲ γράψαι, ἀλλ' ἐγὼ προσπεσὼν αὐτοῖς καὶ δυσωπήσας, ἐξωμοσάμην αὐτοῖς μὴ ἀληθῆ ἰατρὸν εἶναί σε, ἀλλὰ μάτην διαβληθῆναι.“

Ὅτι τοὺς ἀπαιδεύτους καὶ ἀμαθεῖς καὶ κομψολόγους ἰατροὺς ὁ παρὼν μῦθος ἐλέγχει καὶ στηλιτεύει.

169. Ἰατρὸς καὶ Νοσῶν. (S. 113. C. 31. F. 224.)

Ἰατρὸς ἐκκομιζομένου τινὸς τῶν οἰκείων ἔλεγε πρὸς τοὺς συμπροπέμποντας, ὡς οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἐχρήσατο, οὐκ ἂν ἀπέθανε. Τούτῳ δέ τις ὑποτυχὼν ἔφη· „ὦ οὗτος, ἀλλ' οὔ σε ἔδει ταῦτα νῦν λέγειν, ὅτε οὐδὲν ὄφελός ἐστι, τότε δὲ παραινεῖν, ὅτε καὶ χρῆσθαι ἠδύνατο.“

Ὁ λόγος δηλοῖ, ὅτι χρὴ τοῖς φίλοις παρὰ τὰς χρείας τὰς βοηθείας παρέχεσθαι, ἀλλὰ μὴ μετὰ τὴν τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

170. Ἰκτῖνοι. (C. 293. F. 201. B. 73.)

Ὅσην τοῖς κύκνοις ἡ φύσις ᾠδὴν, τοσαύτην ἰκτίνοις παρέσχε τὸ πρότερον. Ἵππων δὲ χρεμετιζόντων ἀκούσαντες, εἰς ἔρωτα ἧκον τῆς ἐκείνων φωνῆς· καὶ μιμεῖσθαι πειρώμενοι συναποβάλλουσιν ἃ εἶχον, οἷς μαθεῖν ἐπετήδευον· χρεμετίζειν μὲν γὰρ οὐκ ἔμαθον, ᾄδειν δὲ ἐπελάθοντο.

Φέρει τῶν προσόντων τὴν στέρησιν ἡ τοῦ μὴ προσήκοντος μίμησις.

170b. Ἄλλως. (C. 293.)

Λέγεται τὸν ἰκτῖνα, φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν, ἐπιθέσθαι τῷ χρεμετίζειν, ὥσπερ οἱ γενναῖοι τῶν ἵππων. Εἶτα τῆς μὲν ἐπιλαθόμενον, τὸ δὲ μὴ δυνηθέντα ἑλεῖν ἱκανῶς, ἀμφοῖν στέρεσθαι, καὶ φαυλότερον τῶν ἄλλων ὀρνίθων εἶναι τὴν φωνήν.

171. Ἰξευτὴς καὶ Ἀσπίς. (S. 114. C. 32. F. 225.)

Ἰξευτὴς ἀναλαβὼν ἰξὸν καὶ τοὺς καλάμους ἐξῆλθεν ἐπ' ἄγραν· θεασάμενος δὲ κίχλαν ἐπί τινος ὑψηλοῦ δένδρου καθημένην, ταύτην συλλαβεῖν ἠβουλήθη. Καὶ δὴ ἀνάψας εἰς μῆκος τοὺς καλάμους, ἀτενὲς ἔβλεπεν, ὅλος ὢν πρὸς τῷ ἀέρι τὸν νοῦν. Τοῦτον δὲ τὸν τρόπον ἄνω νεύων ἔλαθεν ἀσπίδα πρὸ τῶν ἑαυτοῦ ποδῶν κοιμωμένην πατήσας, ἥτις ἐπιστραφεῖσα ἔπληξεν αὐτόν· ὁ δὲ λειποψυχῶν ἔφη πρὸς ἑαυτόν· „ἄθλιος ἔγωγε, ὃς ἕτερον θηρεῦσαι βουλόμενος, ἔλαθον αὐτὸς ἀγρευθεὶς εἰς θάνατον.“

Οὕτως οἱ τοῖς πέλας ἐπιβουλὰς ῥάπτοντες φθάνουσιν αὐτοὶ συμφοραῖς περιπίπτοντες.

172. *Ἰξευτὴς καὶ Τέττιξ.* (C. 294. F. 202.)

Ἰξευτὴς τέττιγος ἀκούσας μέγα τι θηράσειν ἐδόκει· μετρεῖ τὴν θήραν ἐκ τῆς ᾠδῆς παρερχόμενος. Ὡς δὲ τὴν τέχνην κινήσας εἷλε τὸ θήραμα, ᾠδῆς μὲν πλέον οὐδὲν ἐκομίσατο· κατῃτιᾶτο δὲ τὴν δόξαν, ὡς ψευδῆ τοῖς πολλοῖς κρίσιν ἐπάγουσαν.

Οὕτως οἱ φαῦλοι δοκοῦσι μᾶλλον ἤπερ γεγόνασιν.

173. *Ἵππος, Βοῦς, Κύων καὶ Ἄνθρωπος.* (C. 194. F. 278. B. 74.)

Ἵππος καὶ βοῦς καὶ κύων, ὑπὸ ψύχους στενούμενοι, ἦλθον εἰς ἀνθρώπου τινὸς οἰκίαν. Ὁ δὲ δεξάμενος αὐτοὺς καὶ πῦρ ἀνάψας ἔθαλψε. Καὶ τῷ μὲν ἵππῳ κριθὰς παρετίθει, τῷ δὲ ταύρῳ ἄχυρα, τῷ δὲ κυνὶ τὰ ἐπὶ τῆς τραπέζης ἐδίδου. Διὰ δὲ τὴν τοιαύτην φιλοξενίαν ἀντημείψαντο αὐτῷ χάριτας, μερίσαντες καὶ χαρισάμενοι αὐτῷ τῶν ἐτῶν ἀφ' ὧν ἔζων. Καὶ ὁ μὲν ἵππος εὐθὺς τοὺς πρώτους χρόνους· διὰ τοῦτο ἕκαστος θερμὸς καὶ γαῦρός ἐστι τῇ γνώμῃ. Ὁ δὲ βοῦς μετ' αὐτὸν τοὺς μέσους χρόνους· διὰ τοῦτο μοχθηρὸς καὶ φιλεργός ἐστι πλοῦτον ἀθροίζων. Τρίτον δὲ ὁ κύων τοὺς τελευταίους χρόνους· διὰ τοῦτο πᾶς γηράσκων δύσκολός ἐστι τῇ γνώμῃ, καὶ τὸν διδόντα μόνον τροφὴν ἀγαπᾷ καὶ σαίνει καὶ ἐπιχαίρει, τοῖς δὲ μὴ διδοῦσι καθυλακτεῖ καὶ καθάπτεται.

Ὅτι τινὲς τῶν ἀνθρώπων, φαῦλοι ὄντες καὶ κακοί, μόνους εἰώθασι φιλεῖν τοὺς διατρέφοντας αὐτούς.

173ᵇ. *Ἄλλως.* (S. 104.)

Ζεὺς ἄνθρωπον ποιήσας ὀλιγοχρόνιον αὐτὸν ἐποίησεν· ὁ δὲ τῇ ἑαυτοῦ συνέσει χρώμενος, ὅτε ἐνίστατο

ὁ χειμὼν, οἶκον ἑαυτῷ κατεσκεύαζε, καὶ ἐνταῦθα διέτριβε. Καὶ δή ποτε σφοδροῦ κρύους γενομένου, καὶ τοῦ Διὸς ὕοντος, ἵππος ἀντέχειν μὴ δυνάμενος ἧκε δρομαῖος πρὸς τὸν ἄνθρωπον, καὶ τούτου ἐδεήθη, ὅπως σκέπῃ αὐτόν. Ὁ δ' οὐκ ἄλλως ἔφη τοῦτο ποιήσειν, εἰ μὴ τῶν οἰκείων ἐτῶν μέρος αὐτῷ δῷ. Τοῦ δὲ ἀσμένως παραχωρήσαντος, παρεγένετο μετ' οὐ πολὺ καὶ βοῦς, οὐδ' αὐτὸς δυνάμενος ὑπομένειν τὸν χειμῶνα. Ὁμοίως δὲ τοῦ ἀνθρώπου μὴ πρότερον ὑποδέξεσθαι φάσκοντος, ἐὰν μὴ τῶν ἰδίων ἐτῶν ἀριθμόν τινα παράσχῃ, καὶ αὐτὸς μέρος δοὺς ὑπεδέχθη. Τὸ δὲ τελευταῖον κύων ψύχει διαφθειρόμενος ἧκε, καὶ τοῦ ἰδίου χρόνου μέρος ἀπονείμας σκέπης ἔτυχε. Οὕτω τε συνέβη τοὺς ἀνθρώπους, ὅταν μὲν ἐν τῷ τοῦ Διὸς χρόνῳ γένωνται, ἀκεραίους τε καὶ ἀγαθοὺς εἶναι· ὅταν δὲ εἰς τὰ τοῦ ἵππου ἔτη γένωνται, ἀλαζόνας τε καὶ ὑψαύχενας εἶναι· ἀφικνουμένους δὲ εἰς τὰ τοῦ βοὸς ἔτη ἀρχικοὺς ὑπάρχειν· τοὺς δὲ τὸν τοῦ κυνὸς χρόνον ἀνύοντας ὀργίλους καὶ ὑλακτικοὺς γίνεσθαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς πρεσβύτην θυμώδη καὶ δύστροπον.

174. Ἵππος γέρων. (C. 193. B. 29.)

Γέρων ἵππος ἐπράθη πρὸς τὸ ἀλήθειν. Ζευχθεὶς δὲ ἐν τῷ μυλῶνι, στενάζων εἶπεν· „ἐξ οἵων δρόμων εἰς οἵους καμπτῆρας ἦλθον.“

Ὅτι μὴ λίαν ἐπαιρέσθω τις πρὸς τὸ τῆς ἀκμῆς ἢ τῆς δόξης δυνατόν· πολλοῖς γὰρ τὸ γῆρας ἐν κόποις ἀνηλώθη.

174[b]. Ἄλλως. Ἵππος καὶ Μυλωρός. (C. 193. F. 206.)

Ἵππον ἐλύπει τὸ γῆρας, καὶ μυλῶνα ἀντὶ μάχης ἐλάμβανεν. Ὡς δὲ ἀλήθειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκά-

ζετο, τὴν παροῦσαν ἐδάκρυε τύχην, τῆς δὲ πρώτης ἐμέμνητο „ἐμοὶ“ λέγων, „ὦ μυλωρὲ, στρατεύεσθαι μὲν ὑπῆρχε πρότερον, κόσμος δὲ παντὶ περιέκειτο τῷ σώματι, καὶ θεραπεύων παρηκολούθει τις ἄνθρωπος· νῦν δὲ οὐκ οἶδ' ὅ,τι παθὼν ἀντιλαμβάνω τὸν μυλῶνα τῆς μάχης. Καὶ ὁ μυλωρὸς πρὸς αὐτὸν „ἐπίσχες“ ἔφη „τὰ παλαιὰ θρυλλῶν· ἡ τύχη γὰρ θνητοῖς τὴν ἐφ' ἑκάτερα φέρειν οἶδε μεταβολήν.“

175. Ἵππος καὶ Ἔλαφος.
(C. 313. F. 383. ex Aristot. Rhet. II, c. 20.)

Στησίχορος, ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν, καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἄλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον· ὡς ἵππος κατεῖχε λειμῶνα μόνος· ἐλθόντος δ' ἐλάφου καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα ἄνθρωπον, εἰ δύναιτ' ἂν μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον. Ὁ δ' ἔφησεν· „ἐὰν λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια.“ Συνομολογήσαντος δὲ καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς ἐδούλευσεν τῷ ἀνθρώπῳ. „Οὕτω δὲ καὶ ὑμεῖς“ ἔφη „ὁρᾶτε, μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι, ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε [ἤδη] Φαλάριδι.“

175^{b}. Ἄλλως. (C. 313. ex Cononis Narrat. 42.)

Γέλων ὁ Σικελιώτης τυραννίδι ἐπιθέσθαι διανοούμενος Ἱμεραίων ἐθεράπευε τὸν δῆμον, καὶ κατὰ τῶν δυνατῶν ὑπερεμάχει· καὶ αὐτὸν ἠγάπα τὸ πλῆθος, καὶ φυλακὴν τοῦ σώματος αἰτοῦντι ὡρμᾶτο διδόναι. Στησίχορος δ' ὁ Ἱμεραῖος ποιητὴς ὑποτοπήσας ἐπιχειρεῖν

αὐτὸν τυραννίδι, στὰς αἶνον ἔλεξεν εἰς τὸ πλῆθος, εἰκόνα τοῦ μέλλοντος πάθους. „Ἵππος“ φησὶ „νεμόμενος ἐφοίτα πιούμενος ἐπὶ κρήνην, ἔλαφος δὲ τὸ πεδίον διαθέουσα τήν τε πόαν κατέστειβε καὶ τὸ νᾶμα ἐτάραττε. Καὶ ὁ ἵππος ποθῶν τὴν ἀδικοῦσαν τιμωρῆσαι, τάχει δὲ ποδῶν λειπόμενος, ἄνδρα κυνηγέτην βοηθὸν ἐκάλει· ὁ δὲ, εἰ χαλινὸν δέξοιτο καὶ ἀναβάτην, ῥᾷστα ἀμύνειν αὐτῷ ὑπισχνεῖτο. Καὶ ἐγίνετο οὕτως. Καὶ ἡ μὲν ἔλαφος ἀκοντίοις ἔκειτο βληθεῖσα, ὁ δ' ἵππος ᾔσθετο δεδουλωμένος τῷ κυνηγέτῃ.“ „Τοῦτ'“ ἔφη „δέδοικα καὶ αὐτὸς, ὦ Ἱμεραῖοι, μὴ νῦν δῆμος ὄντες τῶν ἐχθρῶν μὲν διὰ Γέλωνος περιγένησθε, αὐτοὶ δ' ὕστερον Γέλωνι δουλεύσητε· φιλεῖν γὰρ ἅπασαν δύναμιν τῷ λαβόντι ἐπὶ τὸν δόντα εἶναι, ὅταν, ὥσπερ δοῦναι αὐτὴν, μηκέτι ἐκ τοῦ ὁμοίου κομίσασθαι ἔχῃ.“

176. Ἵππος καὶ Ἱπποκόμος. (C. 195. F. 279. B. 83.)

Κριθὴν τὴν τοῦ ἵππου ἱπποκόμος κλέπτων καὶ πωλῶν, τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. Ἔφη δὲ ὁ ἵππος· „εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσαν μὴ πώλει.“

Ὅτι οἱ πλεονέκται τοῖς πιθανοῖς λόγοις καὶ ταῖς κολακείαις τοὺς πένητας δελεάζονται, καὶ ἀποστεροῦσιν αὐτοὺς καὶ τῆς ἀναγκαίας χρείας.

177. Ἵππος καὶ Ὄνος. (C. 125. F. 24. B. 7.)

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. Ὁδευόντων δὲ, ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· „ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν.“ Ὁ δὲ οὐκ ἐπείσθη· ὁ δὲ ὄνος, πεσὼν ἐκ τοῦ κόπου, ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν τοῦ ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα· „οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ

μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα."

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες ἀμφότεροι σωθήσονται ἐν βίῳ.

177^{b}. *Ἄλλως. Ὄνος καὶ Ἡμίονος.* (S. 177. F. 133. C. p. 328.)

Ὀνηλάτης, ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους, ἤλαυνεν. Ὁ δὲ ὄνος, μέχρι μὲν λεῖος τόπος ἦν, ἀντεῖχε πρὸς τὸ βάρος· ὡς δὲ ἐγένοντο κατά τινα κρημνὸν, μὴ δυνάμενος ὑποφέρειν, παρεκάλει τὴν ἡμίονον, μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσηται. Τῆς δὲ παρ' οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους, ὁ μὲν κατακρημνισθεὶς διεῤῥάγη· ὁ δὲ ὀνηλάτης, ἀπορῶν ὅ,τι ποιήσει, οὐ μόνον τὸν γόμον τοῦ ὄνου τῇ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ αὐτὸν τὸν ὄνον ἐκδείρας ἐπέθηκεν αὐτῇ. Ἡ δὲ οὐ μετρίως καταπονηθεῖσα ἔφη πρὸς ἑαυτήν· „δίκαια πέπονθα· εἰ γὰρ παρακαλοῦντι τῷ ὄνῳ μικρὰ κουφίσαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τῶν αὐτοῦ φορτίων καὶ αὐτὸν ἔφερον."

Οὕτω καὶ τῶν δανειστῶν ἔνιοι διὰ φιλαργυρίαν, ἵνα μικρὰ τοῖς χρεώσταις μὴ παράσχωσι, πολλάκις καὶ αὐτὸ τὸ κεφάλαιον ἀπολλύουσι.

178. *Ἵππος καὶ Στρατιώτης.* (C. 362. B. 76.)

Ἵππον τὸν ἑαυτοῦ στρατιώτης, ἕως μὲν καιρὸς τοῦ πολέμου ἦν, ἐκρίθιζεν, ἔχων συνεργὸν ἐν ταῖς ἀνάγκαις· ὅτε δὲ ὁ πόλεμος κατεπαύσατο, εἰς δουλείας τινὰς καὶ φόρτους βαρεῖς ὁ ἵππος ὑπούργει, ἀχύρῳ μόνῳ τρεφόμενος. Ὡς δὲ πάλιν πόλεμος ἠκούσθη καὶ ἡ σάλπιγξ ἐφώνει, τὸν ἵππον χαλινώσας ὁ δεσπότης, καὶ αὐτὸς καθοπλισθεὶς, ἐπέβη. Ὁ δὲ συνεχῶς κατέπιπτε μηδὲν ἰσχύων· ἔφη δὲ τῷ δεσπότῃ· „ἄπελθε μετὰ τῶν

πεζῶν ὁπλιτῶν ἄρτι· σὺ γὰρ ἀφ' ἵππου εἰς ὄνον με μετεποίησας· καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον θέλεις ἔχειν;"

179. Κάλαμοι καὶ Δρῦς. (C. p. 85. B. 36.)

Δρῦν ἄνεμος ἐκριζώσας ἐν ποταμῷ ἔῤῥιψεν. Ἡ δὲ φερομένη τοὺς καλάμους ἐρωτᾷ· „πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ λεπτοί, ὑπὸ τῶν βιαίων ἀνέμων οὐκ ἐκριζοῦσθε;" Οἱ δὲ εἶπον· „ὑμεῖς τοῖς ἀνέμοις μάχεσθε καὶ ἀνθίστασθε, καὶ διὰ τοῦτο ἐκριζοῦσθε· ἡμεῖς δὲ, παντὶ ἀνέμῳ ὑποπίπτοντες, ἀβλαβεῖς διαμένομεν."

Ὅτι οὐ δεῖ ἀνθίστασθαι τοῖς κρατοῦσιν, ἀλλ' ὑποτάττεσθαι καὶ ὑπακούειν.

179b. Ἄλλως. Κάλαμος καὶ Ἐλαία. (F. 59. C. 143 et p. 340.)

Διὰ καρτερίαν καὶ ἡσυχίαν καὶ ἰσχὺν κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδύνατός ἐστι καὶ ῥᾳδίως ὑποκλίνεται πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος οὐδὲν ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἀνέμου ἰσχυροῦ γενομένου ὁ μὲν κάλαμος σεισθεὶς καὶ ὑποκλιθεὶς τοῖς ἀνέμοις, ῥᾳδίως διεσώθη, ἡ δὲ ἐλαία ῥιζωθεῖσα, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, τῇ βίᾳ κατεκλάσθη, ἤλεγξεν αὐτὴν, ὅτι ματαίως [καὶ μάτην] ἐπαίρεται ἐπὶ τῇ οἰκείᾳ δυνάμει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ πρὸς τὸν καιρὸν καὶ τοὺς κρείττονας αὐτῶν μὴ ἀνθιστάμενοι κρείττονές εἰσι τῶν πρὸς μείζονας φιλονεικούντων. [Ἢ, ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἀντιπίπτειν.]

179c. Ἄλλως. Δένδρα καὶ Κάλαμοι. (S. 213. F. 180. C. p. 341.)

Τὰ δένδρα ποτὲ κατεασσόμενα ὑπὸ τῶν ἀνέμων, ὡς ἑώρων τοὺς καλάμους ἀσινεῖς διαμένοντας, ἐπυνθάνοντο αὐτῶν, πῶς καὶ τίνι τρόπῳ αὐτὰ μὲν, ἰσχυρὰ

καὶ ἐμβριθῆ ὄντα, οὕτως κατακλᾶται, οἱ δὲ, λεπτοὶ καὶ ἀσθενεῖς ὄντες, οὐδὲν πάσχουσι. Κἀκεῖνοι ἔφασαν· „ὅτι ἡμεῖς συνειδότες ἑαυτοῖς ἀσθένειαν εἴκομεν τῇ τῶν ἀνέμων προσβολῇ, καὶ οὕτως τὰς ὁρμὰς ἐκκλίνομεν· ὑμεῖς δὲ, πεποιθότες τῇ ἰδίᾳ δυνάμει, ἀντιστῆναι πειρᾶσθε, καὶ διὰ τοῦτο κατεάσσεσθε."

Ὁ λόγος δηλοῖ, ὅτι πρὸς τὰ χαλεπὰ τῶν πραγμάτων τὸ εἴκειν τοῦ ἀντιτάσσεσθαι ἀσφαλέστερόν ἐστι.

180. Κάμηλος. (S. 191. C. 118 et p. 324. F. 148.)

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. Ὡς δὲ χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάῤῥησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῶον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες παισὶν ἐλαύνειν δεδώκασιν.

Ὁ λόγος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια μεγάλως καταπραΰνει.

181. Κάμηλος. (F. 353. C. 342 et p. 406. B. 40.)

Κάμηλος ποταμὸν διέβαινεν ὀξὺ ῥέοντα. Ἀφοδεύσασα δὲ, καὶ τὴν κόπρον εὐθὺς ἔμπροσθεν αὐτῆς ἰδοῦσα διὰ τὸ ὀξὺ τοῦ ῥεύματος, εἶπε· „τί τοῦτο; τὰ ἐξόπισθέν μου ἔμπροσθέν μου ὁρῶ διερχόμενα."

Τῇ πόλει, ἧς ἔσχατοι καὶ ἄφρονες κρατοῦσιν ἀντὶ τῶν πρώτων καὶ φρονίμων, ἁρμόζει ὁ μῦθος.

182. Κάμηλος. (F. 354. C. 405. B. 80.)

Κάμηλος ἀναγκαζομένη ὑπὸ τοῦ ἰδίου δεσπότου ὀρχεῖσθαι, εἶπεν· „ἀλλ' οὐ μόνον ὀρχουμένη εἰμὶ ἄσχημος, ἀλλὰ καὶ περιπατοῦσα."

Ὁ λόγος ἁρμόδιος πρὸς ἄνδρα, ἐν παντὶ ἔργῳ ἀπρέπειαν ἔχοντα.

183. *Κάμηλος, Ἐλέφας καὶ Πίθηκος.* (S. 217. C. 196. F. 280.)

Τῶν ἀλόγων ζώων βουλευομένων βασιλέα ἑλέσθαι, κάμηλος καὶ ἐλέφας καταστάντες ἐφιλονείκουν, καὶ διὰ τὸ μέγεθος τοῦ σώματος καὶ διὰ τὴν ἰσχὺν ἐλπίζοντες πάντων προκρίνεσθαι. Πίθηκος δὲ ἀμφοτέρους ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, διότι χολὴν οὐκ ἔχει κατὰ τῶν ἀδικούντων, τὸν δὲ ἐλέφαντα, ὅτι δέος ἐστὶ, μὴ χοιρίδιον, ὃ δέδοικεν, ἡμῖν ἐπιτιθῆται.

Ὁ λόγος δηλοῖ, ὅτι πολλοὶ καὶ τῶν μεγίστων πραγμάτων διὰ μικρὰν αἰτίαν κωλύονται.

184. *Κάμηλος καὶ Ζεύς.* (S. 116. C. 197. F. 152. 281.)

Κάμηλος, θεασαμένη ταῦρον ἐπὶ τοῖς κέρασιν ἀγαλλόμενον, φθονήσασα αὐτῷ ἠβουλήθη καὶ αὐτὴ τῶν ἴσων ἐφικέσθαι. Διὸ καὶ παραγενομένη πρὸς τὸν Δία τούτου ἐδέετο, ὅπως αὐτῇ κέρατα προσνείμῃ· καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ᾽ αὐτῆς, εἴγε μὴ ἀρκοῖτο τῷ μεγέθει τοῦ σώματος καὶ τῇ ἰσχύϊ, ἀλλὰ καὶ περισσοτέρων ἐπιθυμοῖ, οὐ μόνον αὐτῇ κέρατα οὐ προσέθηκεν, ἀλλὰ καὶ μέρος τι τῶν ὤτων ἀφείλετο.

Οὕτω πολλοὶ διὰ πλεονεξίαν τοῖς ἄλλοις ἐποφθαλμίζοντες λανθάνουσι καὶ τῶν ἰδίων στερούμενοι.

185. *Κάνθαροι δύο.* (S. 85. C. 198. F. 282.)

Ἔν τινι νησιδίῳ ταῦρος ἐνέμετο· τῇ δὲ τούτου κόπρῳ κάνθαροι ἐτρέφοντο δύο. Καὶ δὴ τοῦ χειμῶνος ἐνισταμένου ὁ εἷς ἔλεγε πρὸς τὸν ἕτερον, ὡς ἄρα βούλοιτο δὴ εἰς τὴν ἤπειρον διαπτάσθαι, ἵνα ἐκείνῳ μόνῳ ἡ τροφὴ ἱκανὴ ὑπάρχῃ, καὶ ὡς ἂν ἐκεῖσε ἐλθὼν τὸν χειμῶνα διαγένηται. Ἔλεγε δὲ ὅτι, ἐὰν πολλὴν εὕρῃ

τὴν νομὴν, καὶ αὐτῷ οἴσει. Παραγενόμενος δὲ εἰς τὴν χέρσον, καὶ καταλαβὼν πολλὴν μὲν κόπρον, ὑγρὰν δὲ, μένων ἐνταῦθα ἐτρέφετο. Τοῦ δὲ χειμῶνος διελθόντος πάλιν εἰς τὴν νῆσον διέπτη· ὁ δὲ ἕτερος θεασάμενος αὐτὸν λιπαρὸν καὶ εὐεκτοῦντα, ᾐτιάσατο αὐτὸν, διότι προϋποσχόμενος οὐδὲν ἐκόμισεν. Ὁ δὲ εἶπε· „μὴ ἐμὲ μέμφου, τὴν δὲ φύσιν τοῦ τόπου· ἐκεῖθεν γὰρ τρέφεσθαι μὲν οἷόν τε, φέρεσθαι δὲ οὐδέν.“

Ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἐκείνους, οἳ τὰς φιλίας μέχρις ἑστιάσεως μόνον παρέχονται, περαιτέρω δὲ οὐδὲν τοὺς φίλους ὠφελοῦσιν.

186. *Καρκίνος καὶ Ἀλώπηξ.* (C. 95. F. 247. S. 115.)

Καρκίνος, ἀπὸ τῆς θαλάσσης ἀναβὰς, ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς, θαλάττιος ὢν, χερσαῖος ἠβουλήθην γενέσθαι.“

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλείποντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

187. *Καρκίνος καὶ Μήτηρ.* (C. 295. F. 205. B. 109.)

Ἡ μήτηρ πρὸς τὸν καρκίνον· „τί δὴ λοξὴν, ὦ παῖ, βαδίζεις ὁδὸν, ὀρθὴν ἰέναι προσῆκον;“ Ὁ δὲ πρὸς αὐτήν· „ἡγοῦ τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι.“ Τῆς δὲ βαδίζειν ἀπορούσης ὀρθῶς, κατήγορος ὁ παῖς τῆς παρανοίας ἐγένετο.

Ῥᾷον παραινεῖν ἃ πονεῖν ὑπῆρξεν ἀδύνατον.

188. *Καρύα.* (C. 199. F. 283.)

Καρύα τις ἐν ὁδῷ ἱσταμένη καρπὸν ἔφερε πολύν. Οἱ δὲ παροδῖται λίθοις καὶ βάκλοις κατέκλων διὰ τὰ

κάρυα. Ἡ δὲ οἰκτρὸν ἔφη· „ὦ ἀθλία ἐγώ, ὅτι, οὓς τῷ καρπῷ μου εὐφραίνω, ὑπὸ τούτων δεινὰς ἀντιλαμβάνω χάριτας.“

Τοὺς ἀχαρίστους καὶ κακούργους, τοὺς ἀντὶ ἀγαθῶν κακὰ ἀντιδιδόντας, ὁ μῦθος ἐλέγχει.

189. Κάστωρ. (C. 33. F. 226. S. 117.)

Ὁ κάστωρ ζῶόν ἐστι τετράπουν, ἐν λίμναις τὰ πολλὰ διαιτώμενον, οὗ τὰ αἰδοῖά φασιν ἰατροῖς χρήσιμα εἶναι. Οὗτος οὖν, ἐπειδὰν ὑπ᾽ ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων, οὗ χάριν διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα ῥίπτει πρὸς τοὺς διώκοντας, καὶ οὕτω σωτηρίας τυγχάνει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

190. Κεραμεύς, Ὄνος καὶ Ὀνηλάτης. (C. 338. F. 409.)

Κεραμεύς τις ἔπλαττε πολλὰς ὄρνεις ἐν τῷ ἐργαστηρίῳ. Ὄνος δὲ παριών, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος ἀνέτρεψε τὰς ὄρνιθας, καὶ τὰ ἐν τῷ ἐργαστηρίῳ συνέτριψε σκεύη. Ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου ἐπὶ κρίσιν ἤγαγε τὸν ὀνηλάτην. Ἐρωτώμενος δὲ ἐκεῖνος παρὰ τῶν ἀπαντώντων, τίνος κρίνοιτο, ἔλεγεν „ὄνου παρακύψεως.“

191. Κηπωρός. (S. 118.)

Κηπωρῷ τις ἐπιστὰς ἀρδεύοντι λάχανα ἐπυνθάνετο αὐτοῦ, δι᾽ ἣν αἰτίαν τὰ μὲν ἄγρια τῶν λαχάνων εὐθαλῆ τέ ἐστι καὶ στερεά, τὰ δὲ ἥμερα λεπτὰ καὶ μεμαρασμένα· κἀκεῖνος ἔφη· „ἡ γῆ τῶν μὲν μήτηρ, τῶν δὲ μητρυιά ἐστι.“

Οὕτω καὶ τῶν παίδων οὐχ ὁμοίως τρέφονται οἱ ὑπὸ μητρυιᾶς τρεφόμενοι τοῖς μητέρας ἔχουσι.

191ᵇ. *Ἄλλως. Ἀνὴρ καὶ Κηπουρός.* (C. 380. F. 341.)

Ἀνήρ τις κηπουρόν τινα θεασάμενος τῶν λαχάνων ἀρδείαν ποιούμενον, ἔφη πρὸς αὐτόν· „πῶς τὰ μὲν ἄγρια φυτὰ, μήτε φυτευόμενα μήτε ἐργαζόμενα, ὡραῖα πεφύκασι, τὰ δὲ τῆς ὑμῶν φυτηκομίας πολλάκις ξηραίνεται;“ Ὁ δὲ κηπουρὸς ἀντέφησεν, „ὡς τὰ ἄγρια τῶν φυτῶν μόνῃ τῇ θείᾳ προνοίᾳ ἐφορᾶται, τὰ δὲ ἥμερα ὑπὸ χειρὸς ἀνθρωπίνης ἐπιμελεῖται.“

Ὁ λόγος δηλοῖ, ὡς κρείττων ἡ τῶν μητέρων ἀνατροφὴ πέφυκε τῆς τῶν μητρυιῶν ἐπιμελείας.

192. *Κηπωρὸς καὶ Κύων,* (C. 67. F. 229. S. 119.)

Κηπωροῦ κύων εἰς φρέαρ κατέπεσεν. Ὁ δὲ κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀναγαγεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. Οἰηθεὶς δ' ὁ κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. Ὁ δὲ μετ' ὀδύνης ἐπανιὼν „δίκαια“ φησὶ „πέπονθα· τί δή ποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;“

Ὁ μῦθος πρὸς ἀδίκους καὶ ἀχαρίστους.

193. *Κιθαρῳδός.* (S. 120. C. 96. F. 248.)

Κιθαρῳδὸς ἄμουσος ἐν κεκονιαμένῳ οἴκῳ συνεχῶς ᾄδων, ἀντηχούσης [δὲ] αὐτῷ τῆς φωνῆς, ὥστε αὐτὸν νομίσαι εὔφωνον εἶναι σφόδρα, καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ ἔγνω δεῖν καὶ εἰς θέατρον εἰσελθεῖν· ἀφικόμενος δὲ ἐπὶ σκηνὴν, καὶ πάνυ κακῶς ᾄδων λίθοις βαλλόμενος ἐξηλάθη.

Οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν σχολαῖς εἶναί τινες

δοκοῦντες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοι εὑρίσκονται.

194. *Κίχλα.* (S. 87. C. 200 et p. 369. F. 73.)

Ἔν τινι μυρσινῶνι κίχλα ἐνέμετο· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίστατο. Ἰξευτὴς δὲ παρατηρησάμενος ἐμφιλοχωροῦσαν ἰξεύσας συνέλαβε· καὶ δὴ μέλλουσα ἀναιρεῖσθαι ἔφη· „δειλαία εἰμί, ἥτις διὰ τροφῆς γλυκύτητα ζωῆς στερίσκομαι.“

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ἄσωτον, δι' ἡδυπάθειαν ἀπολωλεκότα ἑαυτόν.

195. *Κλέπται καὶ Ἀλεκτρυών.* (C. 97. F. 249. S. 121.)

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπῄεσαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο, ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· „ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.“

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

196. *Κλέπτης καὶ Πανδοχεύς.* (F. 423. C. 425.)

Κλέπτης κατέλυσεν ἔν τινι πανδοχείῳ· διέμενεν δὲ ἐκεῖ ἡμέρας τινὰς προσδοκῶν κλέψαι τι. Ὡς δὲ οὐκ ἐδύνατο τοῦτο ποιῆσαι, μιᾷ τῶν ἡμερῶν ἰδὼν τὸν πανδοχέα ἐνδυθέντα χιτῶνα ὡραῖον καὶ καινὸν (ἦν γὰρ ἑορτή), καὶ καθεζόμενον πρὸ τῆς πύλης τοῦ πανδοχείου, καὶ οὐδένα ἄλλον τυχόντα ἐκεῖ, ἐπελθὼν καὶ ὁ κλέπτης ἐκάθισεν πλησίον τοῦ πανδοχέως, καὶ ἤρξατο διηγεῖσθαι μετ' αὐτοῦ. Καὶ διηγούμενοι ὥρᾳ ἱκανῇ, ἐχασμήσατο ὁ κλέπτης, καὶ ὁμοῦ μετὰ τοῦ χασμᾶσθαι ὠρύατο

ὥσπερ λύκος. Ὁ δὲ πανδοχεύς φησι πρὸς αὐτόν· „τί οὕτως ποιεῖς;“ Καὶ ὁ κλέπτης ἀπεκρίθη· „νῦν ἀναγγελῶ σοι· ἀλλὰ δέομαί σου, ἵνα φυλάξῃς τὰ ἱμάτιά μου· ἐνταῦθα γὰρ καταλείψω. Ἐγὼ, κύριέ μου, οὐκ οἶδα, πόθεν μοι ἐπέρχεται τὸ χασμᾶσθαι οὕτως, ἢ διὰ τὰς ἁμαρτίας μου, ἢ διὰ ποίαν αἰτίαν, οὐ γινώσκω· ὅταν οὖν χασμηθῶ τρεῖς βολὰς, γίνομαι λύκος ἐσθίων ἀνθρώπους.“ Καὶ ταῦτα εἰπὼν ἐχασμήσατο ἐκ δευτέρου, καὶ πάλιν ὠρυᾶτο, καθάπερ καὶ τὸ πρῶτον. Ἀκούσας οὖν ταῦτα ὁ πανδοχεὺς καὶ πιστεύσας τῷ κλέπτῃ ἐφοβήθη, καὶ ἀναστὰς ἠβούλετο φυγεῖν· ὁ δὲ κλέπτης δραξάμενος αὐτὸν τοῦ χιτῶνος, παρεκάλει αὐτὸν λέγων· „ἀνάμεινον, κύριέ μου, καὶ λαβὲ τὰ ἱμάτιά μου, ἵνα μὴ ἀπολέσω αὐτά·“ καὶ παρακαλῶν αὐτὸν, ἀνοίξας τὸ στόμα αὐτοῦ ἤρξατο χασμᾶσθαι ἐκ τρίτου. Ὁ δὲ πανδοχεὺς φοβηθεὶς, μήπως φάγῃ αὐτὸν, κατέλιπε τὸν ἑαυτοῦ χιτῶνα, καὶ εἰσελθὼν δρομαῖος εἰς τὸ πανδοχεῖον, κατησφαλίσατο εἰς τὸ ἐνδότερον. Καὶ ὁ κλέπτης λαβὼν τὸν χιτῶνα ἀπῆλθεν.

Οὕτω πανθάνουσιν οἱ τὰ μὴ ἀληθῆ πιστεύοντες.

197. *Κοιλία καὶ Πόδες.* (S. 129. C. 202. F. 286.)

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. Παρ' ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι προέχουσι τῇ ἰσχύϊ τοσοῦτον, ὥστε καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο· „ὦ οὗτοι, ἐὰν μὴ ἐγὼ τροφὴν προσλάβωμαι, οὐδ' ὑμεῖς βαστάζειν δυνήσεσθε.“

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων ἀδύνατοί εἰσιν οἱ στρατιῶται, ἂν μὴ οἱ στρατηγοὶ ἄριστα φρονῶσι.

198. *Κόκκυξ καὶ Ὄρνιθες.*
(C. 316. F. 387. ex Plut. v. Arati c. 30.)

Τῷ κόκκυγί φησιν Αἴσωπος ἐρωτῶντι τοὺς λεπτοὺς

ὄρνιθας, ὅ,τι φεύγοιεν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔσται ποτὲ ἱέραξ.

199. *Κολοιὸς καὶ Ἀλώπηξ.* (S. 125. C. 201. F. 284.)

Κολοιὸς λιμώττων ἐπί τινος συκῆς ἐκάθισεν· εὑρὼν δὲ τοὺς ὀλύνθους μηδέπω πεπείρους, προσέμενεν ἕως σῦκα γένωνται. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἐγχρονίζοντα καὶ τὴν αἰτίαν παρ' αὐτοῦ μαθοῦσα, ἔφη· „ἀλλὰ πεπλάνησαι, ὦ οὗτος, ἐλπίδι προσέχων, ἥτις βουκολεῖν μὲν οἶδε, τρέφειν δὲ οὐδαμῶς."

[Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.]

200. *Κολοιὸς καὶ Γλαύξ.* (C. p. 117. F. 217. B. 72.)

Κάλλους ἦν ἀγὼν, καὶ παρὰ τῷ Διὶ κριθησόμενοι πάντες οἱ ὄρνεις ἐφοίτων, Ἑρμοῦ τὴν κυρίαν ὁρίζοντος. Ποταμούς τε καὶ λίμνας ἅπαντες κατελάμβανον, τὰ μὲν φαῦλα τῶν πτερῶν ἀποβάλλοντες, τὰ δὲ κρείττω φαιδρύνοντες. Κολοιὸς δὲ, οὐδὲν εὐπρεπὲς ἔχων ἀπὸ τῆς φύσεως, ἃ τῶν ἄλλων ἐξέπιπτε, ταῦτα οἰκεῖον συνέθηκε κόσμον. Γλαὺξ δὲ μόνη ἐπιγνοῦσα, τὸ ἑαυτῆς ἀφῃρεῖτο τὸν κολοιὸν, καὶ τὰ ἄλλα πράττειν ἀνέπειθεν. Ἀφαιρεθεὶς δὲ τὰ παρὰ πάντων ὁ κολοιὸς γυμνὸς εἰς τὴν Διὸς ἀφίκετο κρίσιν.

Κόσμος ἐπείσακτος αἰσχύνη τοῖς ἔχουσι.

200ᵇ. *Ἄλλως. Κολοιὸς καὶ Ὄρνεις.*
(C. 188 et p. 367. F. 78. S. 101.)

Ζεὺς, βουλόμενος βασιλέα καταστῆσαι ὀρνέων, προθεσμίαν αὐτοῖς ἔταξεν, ἐν ᾗ παραγενήσονται πάντες πρὸς αὐτὸν, ὅπως τὸν ὡραιότερον πάντων καταστήσῃ ἐπ' αὐτοὺς βασιλέα. Τὰ δὲ παραγενόμενα ἐπί τινα ποταμὸν ἀπενίζοντο. Κολοιὸς δὲ, συνιῶν ἑαυτῷ περικειμένην δυσμορφίαν, ἀπελθὼν καὶ τὰ ἀποπίπτοντα

τῶν ὀρνέων πτερὰ συλλεξάμενος, ἑαυτῷ περιέθηκέ τε καὶ προσεκόλλησε. Συνέβη οὖν ἐκ τούτου εὐειδέστερον πάντων γενέσθαι. Ἐπέστη οὖν ἡ ἡμέρα τῆς προθεσμίας, καὶ ἦλθον πάντα τὰ ὄρνεα πρὸς τὸν Δία. Τοῦ δὲ Διὸς μέλλοντος χειροτονῆσαι αὐτοῖς τὸν κολοιὸν βασιλέα διὰ τὴν εὐπρέπειαν, ἀγανακτήσαντα τὰ ὄρνεα ἕκαστον τὸ οἰκεῖον πτερὸν ἀφείλετο ἐξ αὐτοῦ· καὶ ὁ κολοιὸς ἦν πάλιν κολοιός.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ οἱ χρεωφειλέται καὶ ἐπικτήτους προσκτώμενοι πλούτους, μέχρις ἂν κατέχωσι τὰ ἀλλότρια, δοκοῦσιν εἶναί τινες· ἐπειδὰν δὲ αὐτὰ ἀπαιτηθῶσιν, ὁποῖοι ἦσαν πρότερον γινώσκονται.

201. *Κολοιὸς καὶ Κόρακες.* (S. 122. C. 101. F. 286.)

Κολοιὸς, τῷ μεγέθει τῶν ἄλλων κολοιῶν διαφέρων, ὑπερφρονήσας τοὺς ὁμοφύλους παρεγένετο πρὸς τοὺς κόρακας, καὶ τούτοις ἠξίου συνδιαιτᾶσθαι. Οἱ δὲ ἀγνοοῦντες αὐτοῦ τό τε εἶδος καὶ τὴν φωνὴν παίοντες αὐτὸν ἐξέβαλον. Καὶ ὃς ἀπελαθεὶς ὑπ' αὐτῶν ἧκε πάλιν εἰς τοὺς κολοιούς· οἱ δὲ ἀγανακτοῦντες ἐπὶ τῇ ὕβρει οὐ προσεδέξαντο αὐτόν· οὕτω τε συνέβη αὐτῷ τῆς μετ' ἀμφοτέρων διαίτης στερηθῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰς πατρίδας ἀπολιμπάνοντες καὶ τὴν ἀλλοδαπὴν προκρίνοντες οὔτε ἐν ἐκείνοις εὐδοκιμοῦσι, καὶ ὑπὸ τῶν ἰδίων πολιτῶν ἀποστρέφονται.

201[b]. *Ἄλλως. Κολοιὸς καὶ Περιστεραί.*
(C. 101. F. 253. S. 128.)

Κολοιὸς ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο·

ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. Καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

202. Κολοιὸς φυγάς. (S. 130. C. 102. F. 254.)

Κολοιόν τις συλλαβὼν καὶ δήσας τὸν αὐτοῦ πόδα λίνῳ, τοῖς αὐτοῦ παισὶν ἔδωκεν. Ὁ δὲ οὐχ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἦκεν εἰς τὴν ἑαυτοῦ καλιάν. Περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀναπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλεν, ἔφη πρὸς ἑαυτόν· „ἀλλ' ἔγωγε δείλαιος, ὅστις τὴν μετὰ τῶν ἀνθρώπων δουλείαν μὴ ὑπομείνας ἔλαθον ἐμαυτὸν καὶ σωτηρίας στερήσας."

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν ἐπ' ἐκείνους τῶν ἀνθρώπων, οἵτινες μετρίων ἑαυτοὺς κινδύνων ῥύσασθαι βουλόμενοι ἔλαθον εἰς μείζονα δεινὰ πεσόντες.

203. Κομπαστής. (C. 14 et p. 287. F. 30.)

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἀν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς ταῦτα δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη· „ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐ-

δὲν δεῖ σοι μαρτύρων· ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.“

Ὁ μῦθος δηλοῖ, ὅτι, ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

203ᵇ. Ἄλλως. Πένταθλος κομπαστής. (S. 33.)

Ἀνὴρ πένταθλος ἐπ' ἀνανδρίᾳ ἑκάστοτε ὑπὸ τῶν πολιτῶν ὀνειδιζόμενος, ἀποδημήσας ποτὲ καὶ μετὰ χρόνον ἐπανελθὼν, ἀλαζονευόμενος ἔλεγεν, ὡς πολλὰ [μὲν] καὶ ἐν ἄλλαις πόλεσιν ἀνδραγαθήσας ἐν τῇ Ῥόδῳ τοιοῦτον ἥλατο πήδημα, ὡς μηδένα τῶν Ὀλυμπιονικῶν ἐφικέσθαι· καὶ τούτου μάρτυρας ἔφη παρέξεσθαι τοὺς παρατετυχηκότας ἄνδρας, ἂν ἄρα ποτὲ ἐπιδημήσωσι. Τῶν δὲ παρόντων τις ὑποτυχὼν ἔφη πρὸς αὐτόν· „ἀλλ' ὦ φίλε, εἰ τοῦτο ἀληθές ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων· αὕτη γὰρ Ῥόδος καὶ πήδημα.“

Ὁ λόγος δηλοῖ, ὅτι, ὧν πρόχειρος ἡ δι' ἔργων πεῖρα, περὶ τούτων πᾶς λόγος περιττός ἐστι.

204. Κόραξ καὶ Ἀλώπηξ. (S. 123. C. 204. B. 77.)

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν· ἀλώπηξ δὲ θεασαμένη αὐτὸν καὶ βουλομένη τοῦ κρέως περιγενέσθαι, στᾶσα ἐπῄνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν, λέγουσα καὶ, ὡς πρέπει αὐτῷ μάλιστα τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ παραστῆσαι αὐτῇ βουλόμενος, ὅτι καὶ φωνὴν ἔχει, βαλὼν τὸ κρέας μεγάλως ἐκεκράγει· ἐκείνη δὲ προσδραμοῦσα καὶ τὸ κρέας ἁρπάσασα ἔφη· „ὦ κόραξ, ἔχεις τὰ πάντα· νοῦν μόνον κτῆσαι.“

Πρὸς ἄνδρα ἀνόητον ὁ λόγος εὔκαιρος.

204ᵇ. Ἄλλως. (C. 204. F. 216.)

Τῷ κόρακι τὸ θήραμα τυρὸς ἦν, καὶ ἐν μετεώρῳ

φέρων ἐκάθητο. Ἰδοῦσα δὲ ἀλώπηξ ἀπάτῃ περιενόστει τὸν κόρακα· „τί ταῦτα;“ λέγουσα· „μετριότητι μὲν, ὦ κόραξ, διενήνοχας σώματος, χροιὰν δὲ φέρεις τῇ τῶν ὀρνίθων ἡγεμονίᾳ προσήκουσαν· εἰ δὲ καὶ φωνὴ παρῆν, ἅπασαν ἂν εἶχες τὴν τῶν ὀρνίθων ἀρχήν.“ Ταῦτα δὲ εἶπε πρὸς ἀπάτην. Ὁ δὲ ὑπαχθεὶς, τὸν τυρὸν ἐκβαλὼν, ἀνέκραγε μέγιστον, φωνῆς ἐπίδειξιν τὴν ἀφαίρεσιν ποιῶν τοῦ θηράματος. Ἡ δὲ λαβοῦσα „φωνὴ μὲν, ὦ κόραξ,“ εἶπεν „προσῆν, ὁ δὲ νοῦς ἐπιλέλοιπεν.“

Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὴν βλάβην.

205. *Κόραξ καὶ Ἑρμῆς.* (C. 205. F. 287.)

Κόραξ ὑπὸ παγίδος κρατηθεὶς, ηὔξατο τῷ Ἀπόλλωνι, λιβανωτὸν ἐπιθύσειν ὑπισχνῶν. Σωθεὶς δ' ἐκ τοῦ κινδύνου, τῆς ὑποσχέσεως ἐπελάθετο. Πάλιν δὲ ὑφ' ἑτέρας κρατηθεὶς παγίδος, ἀφεὶς τὸν Ἀπόλλωνα, τῷ Ἑρμῇ ὑπέσχετο θῦσαι. Ὁ δὲ πρὸς αὐτὸν ἔφη· „ὦ κάκιστε, πῶς σοι πιστεύσω, ὃς τὸν πρότερον δεσπότην ἤρνησας καὶ ἠδίκησας;“

Ὅτι οἱ πρὸς τοὺς εὐεργετοῦντας ἀγνώμονες γενόμενοι, ἐν περιστάσει ἐμπεσόντες, οὐχ ἕξουσι βοήθειαν.

206. *Κόραξ καὶ Κύκνος.* (C. 305. F. 222.)

Ἑωρακὼς τὸν κύκνον ὁ κόραξ ἐξήλου τοῦ χρώματος. Οἰηθεὶς δὲ εἶναι τοιοῦτον οἷς ἀπελούετο, τοὺς βωμοὺς ἐκλιπὼν, ὅθεν ἐτρέφετο, λίμναις καὶ ποταμοῖς ἐνδιέτριβε. Καὶ τὸ μὲν σῶμα φαιδρύνων οὐκ ἤμειβε, τροφῆς δὲ ἀπορῶν διεφθείρετο.

Φύσιν οὐκ οἶδε μεταβάλλειν ἡ δίαιτα.

207. *Κόραξ καὶ Ὄφις.* (S. 127. C. 100. F. 252.)

Κόραξ τροφῆς ἀπορῶν ὡς ἐθεάσατο ὄφιν ἔν τινι εὐηλίῳ τόπῳ κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε.

Τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων ἔφη· „ἀλλ' ἔγωγε δείλαιος, ὅτι τοιοῦτον ἕρμαιον εὗρον, ἐξ οὗ καὶ ἀπόλλυμαι."

Οὗτος ὁ λόγος λεχθείη ἂν πρὸς ἄνδρα, ὃς διὰ θησαυροῦ εὕρεσιν καὶ περὶ σωτηρίας ἐκινδύνευσε.

207[b]. *Ἄλλως. Ἰκτῖνος καὶ Ὄφις.* (F. 352. C. 404.)

Ἰκτῖνος ὄφιν ἄνω πετάσας φέρει. Ὁ δὲ ἐπιστραφεὶς, καὶ δακὼν τοῦτον [αὖθις] εὐθὺς ἔκτεινεν. Ὁ δ' ὄφις ἀνεβόα· „ἵνα τί ἄρα οὕτως αὐτὸς ἐμάνης, ὥστε τοὺς μηδὲν ὅλως ἠδικηκότας βλάπτειν ἐβούλου καὶ θάνατον προσάγειν; ὅμως πέπονθας ὃ ἐβούλου μοι πρᾶξαι."

Ὅτι πλεονεξίᾳ τις προσέχων καὶ τοὺς ἀσθενεῖς ἀδικῶν, ἰσχυροτέροις ἐμπεσὼν ποτε, καὶ μὴ ἐλπίζων, ἐκτίσει ἃ πρότερον πεποίηκε κακά.

208. *Κόραξ νοσῶν.* (C. 132 et p. 334. F. 87. B. 78.)

Κόραξ νοσῶν ἔφη τῇ μητρί· „εὔχου τοῖς θεοῖς καὶ μὴ θρήνει." Ἡ δ' ὑπολαβοῦσα ἔφη· „τίς σε, τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦγε οὐκ ἐκλάπη;"

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

209. Κορυδαλλός. (C. 55. F. 228.)

Κορυδαλλὸς, εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν· „οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ· οὐ χρυσὸν ἐνοσφισάμην τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων· κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν."

Ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένους κίνδυνον.

210. *Κορυδαλλὸς καὶ Γεωργός.* (F. 379. C. 421. B. 88.)

Κορυδαλός ἦν τις ἐν χλόῃ νεοσσεύων,
ὁ τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων,
ὃς παῖδας εἶχε ληίου κόμῃ θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων,
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε· „νῦν ὥρη
πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν' ἀμήσω.“
καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουσεν αὐτοῦ τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
ὁ δ' εἶπεν· „οὔπω καιρός ἐστι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν οὐκ ἄγαν σπεύδει.“
ὡς δ' αὖθις ἐλθὼν ἡλίου δ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας,
μισθὸν μὲν ἀμητῆρσιν αὔριον πέμψειν,
μισθὸν δὲ πᾶσι δραγματηφόροις δώσειν
εἶπεν, κορυδαλὸς παισὶ νηπίοις οὕτως·
„νῦν ἔστιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
ὅτ' αὐτὸς αὑτῷ κοὐ φίλοισι πιστεύει.“

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐμπιμελεῖσθαι τῶν οἰκείων, ὅση δύναμις, καὶ μὴ καταφρονεῖν, θαῤῥοῦντας ταῖς τῶν φίλων συνδρομαῖς.

211. *Κορυδὸς θάπτων τὸν πατέρα.*
(C. 388. ex Aristoph. Avibus v. 471 sqq.)

Ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας,
ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι,
προτέραν τῆς γῆς, κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνήσκειν·

γῆν δ' οὐκ εἶναι, τὸν δὲ προκεῖσθαι πεμπταῖον· τὴν
δ' ἀποροῦσαν
ὑπ' ἀμηχανίας τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.

212. *Κορώνη καὶ Κόραξ.* (S. 124. C. 98. F. 250.)

Κορώνη, φθονήσασα κόρακι ἐπὶ τῷ διὰ οἰωνῶν μαντεύεσθαι ἀνθρώποις καὶ τὸ μέλλον προφαίνειν καὶ διὰ τοῦτο ὑπ' αὐτῶν μαρτυρεῖσθαι, ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι. Καὶ δὴ θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον καὶ στᾶσα μεγάλως ἐκεκράγει· τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων καὶ καταπλαγέντων, εἷς τις ὑποτυχὼν ἔφη· „ἀλλ' ἀπίωμεν, ὦ φίλοι· κορώνη γάρ ἐστιν, ἥτις κεκραγυῖα οἰωνὸν οὐκ ἔχει."

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

213. *Κορώνη καὶ Κύων.* (C. 99. F. 251. S. 126.)

Κορώνη, Ἀθηνᾷ θύουσα, κύνα ἐπὶ ἑστίασιν ἐκάλει. Ὁ δὲ πρὸς αὐτὴν ἔφη· „τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς κἀκ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν." Καὶ ἡ κορώνη πρὸς αὐτόν· „διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι."

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

214. *Κοχλίαι.* (C. 78. F. 236. S. 54.)

Γεωργοῦ παῖς ὤπτα κοχλίας. Ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη· „ὦ κάκιστα ζῷα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;"

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

215. Κύκνος. (C. 74. F. 200.)

Ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. Ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. Ὁ δὲ κύκνος, ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς, ᾄδει τι μέλος θανάτου προοίμιον· καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

216. Κύκνος. (C. 206. F. 288.)

Τοὺς κύκνους φασὶ παρὰ τὸν θάνατον ᾄδειν. Καὶ δή τις περιτυχὼν κύκνῳ πωλουμένῳ, καὶ ἀκούσας, ὅτι εὐμελέστατον ζῶον, ἠγόρασε. Καὶ ἔχων ποτὲ σύνδειπνον, προσελθὼν παρεκάλει αὐτὸν ᾆσαι παρὰ τὸν πότον. Τοῦ δὲ τότε μὲν ἡσυχάσαντος, ὕστερον δέ ποτε, ὡς ἐνόησεν, ὅτι ἀποθνήσκειν ἔμελλε, θρηνοῦντος αὐτὸν, ὁ δεσπότης ἀκούσας ἔφη· „ἀλλ' εἰ σὺ οὐκ ἄλλως ᾄδεις, ἐὰν μὴ ἀποθνήσκῃς, ἐγὼ μάταιος ἤμην τότε, ὅτε σε παρεκάλουν, ἀλλ' οὐκ ἔθυον.“

Οὕτω τινὲς τῶν ἀνθρώπων, ἃ μὴ βούλονται ἑκουσίως ποιεῖν, ἄκοντες ταῦτα ἐπιτελοῦσιν.

217. Κύνες δύο. (S. 93. C. 92.)

Ἔχων τις δύο κύνας, τὸν μὲν θηρεύειν ἐδίδαξε, τὸν δὲ οἰκουρὸν ἐποίησε. Καὶ δὴ, εἴ ποτε ὁ θηρευτικὸς ἐξιὼν πρὸς ἄγραν συνελάμβανέ τι, ἐκ τούτου μέρος καὶ τῷ ἑτέρῳ παρέβαλλεν. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, καὶ τὸν ἕτερον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν

ἐξιὼν διόλου μοχθεῖ, ὁ δὲ οὐδὲν ποιῶν τοῖς ἑαυτοῦ πόνοις ἐντρυφᾷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν· „ἀλλὰ μὴ ἐμὲ μέμφου, τὸν δεσπότην δὲ, ὅς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλ' ἀλλοτρίους πόνους ἐσθίειν."

Οὕτω καὶ τῶν παίδων οἱ ῥάθυμοι οὐ μεμπτέοι εἰσὶν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

218. *Κύνες λιμώττουσαι.* (S. 134. C. 207. F. 289.)

Κύνες λιμώττουσαι, ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι, συνέθεντο ἀλλήλαις, ὅπως τὸ ὕδωρ ἐκπίωσιν, εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγένωνται. Συνέβη δ' αὐτὰς πινούσας διαῤῥαγῆναι πρὶν ἢ τῶν βυρσῶν ἐφικέσθαι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων δι' ἐλπίδα κέρδους ἐπισφαλεῖς μόχθους ὑφιστάμενοι φθάνουσι πρότερον καταναλισκόμενοι ἢ ὧν βούλονται περιγενόμενοι.

219. *Κύνες καὶ Ἀλώπηξ.* (C. 376. F. 336.)

Λέοντος δορὰν κύνες εὑρόντες, διεσπάραττον ταύτην. Τούτοις δὲ ἀλώπηξ ἰδοῦσα ἔφη· „εἰ οὗτος ὁ λέων τοῖς ζῶσι συνῆν, εἴδετε ἂν τοὺς αὐτοῦ ὄνυχας ἰσχυροτέρους τῶν ὑμετέρων ὀδόντων."

Ὁ μῦθος δηλοῖ τοὺς τῶν ἐνδόξων καταφρονοῦντας, ὅταν τῆς δόξης ἐκπίπτωσιν.

220. *Κυνηγὸς καὶ Ἁλιεύς.* (B. 61.)

Ἤιει κυνηγὸς ἐξ ὄρους κυνηγήσας,
ἤει δὲ γριπεὺς κύρτον ἰχθύων πλήσας.
καί πως συνηβόλησαν οἱ δύ' ἀλλήλοις·
χὼ μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
θήραν δ' ὁ γριπεὺς ἠρέτιζεν ἀγρείην,
ἅ τ' εἶχον ἀντέδωκαν· εἶτα τὴν θήρην
ἤμειβον αἰεί, δεῖπνα δ' εἶχον ἡδίω,

ἕως τις αὐτοῖς εἶπεν· „ἀλλὰ καὶ τούτων
τὸ χρηστὸν ἐξολεῖτε τῇ συνηθείᾳ,
πάλιν δ' ἕκαστος ἃ πρὶν εἶχε ζητήσει.“

Ὅτι πᾶς δυσάρεστος, τοῦ παρόντος ἡδέος μικρόν τι ἀπολαύσας, εὐθὺς τὴν ἐπιθυμίαν ἐφ' ἕτερον τρέπει.

221. *Κυνόδηκτος.* (C. 25 et p. 293. F. 55. S. 64.)

Δηχθείς τις ὑπὸ κυνὸς τὸν ἰασόμενον περιῄει ζητῶν. Ἐντυχὼν δέ τις αὐτῷ καὶ γνοὺς ὃ ζητεῖ, „ὦ οὗτος“ εἶπεν, „εἰ σώζεσθαι βούλει, λαβὼν ἄρτον, καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος.“ Κἀκεῖνος γελάσας ἔφη· „ἀλλ' εἰ τοῦτο ποιήσω, δεήσει με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι.“

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι μᾶλλον ἀδικεῖν παροξύνονται.

222. *Κυνὸς οἰκία.*
(C. 317. F. 388. ex Plut. VII Sap. Conv. c. 14.)

Κύων, ἐν τῷ χειμῶνι συστρεφόμενος καὶ συσπειρώμενος διὰ τὸ ῥιγοῦν, οἰκίαν ποιεῖν διενοεῖτο. Θέρους δ' αὖ πάλιν ἐκτεταμένος καθεύδων, ἐφαίνετο μέγας ἑαυτῷ, καὶ οὔτε ἀναγκαῖον ἡγεῖτο οὔτε μικρὸν ἔργον, οἰκίαν περιβάλλεσθαι τοιαύτην.

223. *Κύων.* (C. 208. F. 290.)

Ὠά τις κύων καταπίνειν εἰθισμένος, ἰδών τινα κόχλον, χάνας τὸ στόμα αὐτοῦ, μεγίστῃ συνολκῇ καταπέπωκε τοῦτον, οἰηθεὶς ὠὸν εἶναι. Βαρούμενος δὲ τὰ σπλάγχνα καὶ ὀδυνώμενος, ἔλεγε· „δίκαια ἔγωγε πέπονθα, εἴγε πάντα τὰ περιφερῆ ὠὰ πεπίστευκα.“

Διδάσκει ἡμᾶς ὁ λόγος, ὅτι οἱ ἀδικάστως πρᾶγμα

προσιόντες λανθάνουσιν ἑαυτοὺς περιπείροντες ἀτόποις.

224. *Κύων.* (C. 210. F. 291. B. 104.)

Λάθρα κύων ἔδακνε. Τούτῳ δὲ ὁ δεσπότης κώδωνα ἐκρέμασεν, ὥστε πρόδηλον εἶναι τοῖς πᾶσιν. Οὗτος δὲ, τὸν κώδωνα σείων, ἐν τῇ ἀγορᾷ ἠλαζονεύετο. Γραῦς δὲ εἶπεν αὐτῷ κύων· „τί φαντάζῃ; οὐ δι᾽ ἀρετὴν τοῦτον φορεῖς, ἀλλὰ δι᾽ ἔλεγχον τῆς κεκρυμμένης σου κακίας.“

Ὅτι οἱ τῶν ἀλαζονευομένων κενόδοξοι τρόποι πρόδηλοί εἰσι δηλοῦντες τὴν ἀφανῆ κακίαν.

225. *Κύων καὶ Ἀλεκτρυών.* (C. 36 et p. 297. F. 88.)

Κυὼν καὶ ἀλεκτρυὼν, ἑταιρείαν ποιησάμενοι, ὥδευον. Ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβὰς, ὁ δὲ κυὼν πρὸς τῇ ῥίζῃ τοῦ δένδρου, κοίλωμα ἔχοντος. Τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε, καὶ στᾶσα κάτωθεν πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου· ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. Τοῦ δὲ εἰπόντος, τὸν θυρωρὸν πρότερον διυπνίσαι, ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων αἴφνης πηδήσας αὐτὴν διεσπάραξεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

226. *Κύων καὶ Ἀλώπηξ.* (S. 131. C. 211. F. 292.)

Κύων θηρευτικὸς, λέοντα ἰδὼν, τοῦτον ἐδίωκεν· ὡς δὲ ἐπιστραφεὶς ἐκεῖνος ἐβρυχήσατο, φοβηθεὶς εἰς

τοὐπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη· „ὦ κακὴ κεφαλή, σὺ λέοντα ἐδίωκες, οὗ οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας;"

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν αὐθαδείᾳ συνόντων, οἳ κατὰ πολὺ δυνατωτέρων συκοφαντεῖν ἐπιχειροῦντες, ὅταν ἐκεῖνοι ἀντιστῶσιν, εὐθέως ἀναχαιτίζονται.

227. *Κύων καὶ Δεσπότης.* (B. 110.)

Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης
εἶπεν· „τί χάσκεις; πάνθ' ἕτοιμά σοι ποίει·
μετ' ἐμοῦ γὰρ ἥξεις." ἡ δὲ κέρκον οὐραίης
ἄρασά φησι· „πάντ' ἔχω· σὺ δὲ βραδύνεις."

Πρὸς ἄνδρα ἀπαρασκεύαστον, τὸν ἐν ἑτοιμασίᾳ ὄντα περὶ συνοδοιπορίας κατεπείγοντα, ὁ λόγος εὔκαιρος.

228. *Κύων καὶ Ἵππος* [*ἢ Κύων ἐν φάτνῃ*].
(C. 334. F. 404. ex Luc. adv. Indoctum c. 30.)

Κύων τις, ἐν φάτνῃ κατακειμένη, οὔτε αὐτὴ τῶν κριθῶν ἤσθιεν, οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπέτρεπεν.

229. *Κύων καὶ Λαγωός.* (C. 354. p. 229. B. 87.)

Κύων λαγωὸν διώξας ἐκράτησε· καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἐφίλει. Καὶ ὁ λαγωὸς εἶπεν· „εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρὸς, τί σαίνεις οὐράν;"

229^b. *Ἄλλως.* (S. 135. C. 354. F. 346.)

Κύων θηρευτικὸς λαβών ποτε λαγωὸν, τοῦτον πῇ μὲν ἔδακνε, πῇ δ' αὐτοῦ τὰ χείλη περιέλειχεν· ὁ δ' ἀπαυδήσας ἔφη πρὸς αὐτόν· „ἀλλ', ὦ οὗτος, παῦσαί

με δάκνων ἢ καταφιλῶν, ἵνα γνῶ, πότερον ἐχθρὸς ἢ φίλος μου καθέστηκας."

Πρὸς ἄνδρα ἀμφίβολον ὁ λόγος εὔκαιρος.

230. *Κύων καὶ Λύκαινα.* (C. 381. F. 342.)

Κύων, καταδιώκων λύκαιναν, ἐφρυάττετο τῇ τε τῶν ποδῶν ταχυτῆτι καὶ τῇ ἰδίᾳ ἰσχύϊ, καὶ ἐδόκει φεύγειν τὸν λύκον δι' οἰκείαν δῆθεν ἀσθένειαν. Στραφεὶς οὖν ὁ λύκος ἔφησε πρὸς τὸν κύνα· „οὐ σὲ δέδοικα, ἀλλὰ τὴν τοῦ σοῦ δεσπότου καταδρομήν."

Ὁ μῦθος οὗτος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἐγκαυχᾶσθαι τῇ τῶν ἑτέρων γενναιότητι.

231. *Κύων καὶ Λύκος.* (C. 35 et p. 296. F. 86. S. 133.)

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος καὶ βρῶμα μέλλοντος θύσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. „Νῦν μὲν γὰρ" φησὶ „λεπτός εἰμι καὶ ἰσχνός· ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν πιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι." Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας δ' ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα, καὶ στὰς κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· „ἀλλ', ὦ λύκε, εἰ τὸ ἀπὸ τοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς."

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

232. *Κύων καὶ Μάγειρος.* (C. 34. F. 227.)

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον καὶ τοῦ μαγείρου ἀσχολουμένου καρδίαν ἁρπάσας, ἔφυγεν. Ὁ δὲ μάγει-

ρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· „ὦ οὗτος, ἴσθι ὡς, ὅπουπερ ἂν ᾖς, φυλάξομαί σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν δέδωκας."

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

233. *Κύων κρέας φέρουσα.*
(S. 132. C. 209. F. 219 et 339. B. 79.)

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι, μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη. Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν μὴ ἐφικομένῃ, διότι μηδὲ ἦν, τοῦ δ', ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

Πρὸς ἄνδρα πλεονέκτην ὁ λόγος εὔκαιρος.

234. *Κώνωψ καὶ Λέων.* (C. 146. F. 259.)

Κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπεν· „οὔτε φοβοῦμαί σε, οὔτε δυνατώτερός μου εἶ· εἰ δὲ μὴ, τίς σοί ἐστιν ἡ δύναμις; ὅτι ξύεις τοῖς ὄνυξι, καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. Ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος· εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον." Καὶ σαλπίσας ὁ κώνωψ ἐνεπήγετο, δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. Ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν. Ὁ κώνωψ δὲ, νικήσας τὸν λέοντα καὶ σαλπίσας καὶ ἐπινίκιον ᾄσας, ἀπέπτατο. Ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίστοις πολεμῶν ὑπὸ εὐτελοῦς ζώου, τῆς ἀράχνης, ἀπώλετο.

Ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μεγάλους καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

235. *Κώνωψ καὶ Ταῦρος.* (S. 136. C. 213. F. 294. B. 84.)

Κώνωψ ἐπιστὰς κέρατι ταύρου, καὶ πολὺν χρόνον ἐπικαθίσας, ἐπειδὴ ἀπαλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπελθεῖν. Ὁ δὲ ὑποτυχὼν ἔφη· „ἀλλ' οὔτε ὅτε ἦλθες, ἔγνων, οὔτε ἐὰν ἀπέλθῃς, γνώσομαι.“

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ἀδύνατον, ὃς οὔτε παρὼν οὔτε ἀπὼν ἐπιβλαβὴς ἢ ὠφέλιμός ἐστι.

236. *Λαγωοὶ καὶ Ἀλώπεκες.* (S. 160. C. 107 et p. 319. F. 108.)

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας· αἱ δ' ἔφασαν· „ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι σὺν τῷ διαμαρτεῖν καὶ καταπαίζονται.

237. *Λαγωοὶ καὶ Βάτραχοι.*
(S. 137. F. 89. C. 57 et p. 310. B. 25.)

Λαγωοὶ καταγνόντες ἑαυτῶν δειλίαν ἔγνωσαν δεῖν ἑαυτοὺς κατακρημνίσαι. Παραγενομένων δὲ αὐτῶν ἐπί τινα κρημνὸν, ᾧ λίμνη ἐπέκειτο, ἐνταῦθα βάτραχοι ἀκούσαντες τῆς ποδοψοφίας ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν. Εἷς δέ τις τῶν λαγωῶν θεασάμενος αὐτοὺς ἔφη πρὸς τοὺς ἑτέρους· „ἀλλὰ μηκέτι ἑαυτοὺς κατακρημνίσωμεν· ἰδοὺ γὰρ εὕρηνται καὶ ἡμῶν δειλότερα ζῶα.“

Οὕτω καὶ τοῖς ἀνθρώποις αἱ τῶν ἄλλων δυστυχίαι τῶν ἰδίων δυστυχημάτων παραμύθιον γίνονται.

237 b. *Ἄλλως.* (C. 57 et p. 310. F. 150.)

Οἱ λαγωοί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη καὶ δειλίας

πλέως· καὶ γὰρ [καὶ] ὑπ' ἀνθρώπων καὶ κυνῶν καὶ ἀετῶν καὶ ἄλλων πολλῶν ἀναλίσκονται· βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. Τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἴς τινα λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις, ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη· „στῆτε, ἑταῖροι, μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε· ἤδη, ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερ' ἐστὶ ζῶα δειλότερα.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες ἐξ ἑτέρων, χείρονα πασχόντων, παραμυθοῦνται.

238. *Λαγωὸς καὶ Κύων.* (B. 69.)

Θάμνου λαγωὸν λασιόπουν ἀναστήσας
κύων ἐδίωκεν οὐκ ἄπειρος ἀγρεύειν,
δρόμῳ δ' ἐλείφθη. καί τις αἰπόλος σκώπτων
„ὁ πηλίκος σου“ φησὶν „εὑρέθη θάσσων.“
ὁ δ' εἶπεν· „ἄλλως ἄλλον ἁρπάσαι σπεύδων
τρέχει τις, ἄλλως δ' αὐτὸν ἐκ κακοῦ σώζων.“

239. *Λάρος καὶ Ἰκτῖνος.* (C. 214 et p. 371. F. 112.)

Λάρος ἰχθὺν καταπιὼν, καὶ τοῦ φάρυγγος αὐτοῦ διαῤῥαγέντος, ἐπὶ τῆς ἠϊόνος ἔκειτο νεκρός. Ἰκτῖνος δὲ αὐτὸν θεασάμενος ἔφη· „ἄξια σὺ πέπονθας, ὅτι πτηνὸς γεννηθεὶς ἐπὶ θαλάσσης τὴν δίαιταν ἐποιοῦ.“

Οὕτως οἱ τὰ οἰκεῖα ἐπιτηδεύματα λείποντες καὶ τοῖς μὴ προσήκουσιν ἐπιβάλλοντες εἰκότως δυστυχοῦσι.

240. *Λέαινα καὶ Ἀλώπηξ.* (C. 215. F. 106. S. 158.)

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ

παντὸς τοῦ χρόνου ἕνα τίκτειν, „ἕνα,“ ἔφη „ἀλλὰ λέοντα.“

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει, ἀλλ' ἐν ἀρετῇ.

240b. Ἄλλως. Λέαινα. (F. 189. C. p. 372.)

Στάσις ἦλθε πᾶσι τοῖς τετραπόδοις, καύχημα κατέχουσα εἰς παίδων πλήθη. Καὶ δὴ ἔφασκον τῇ λεαίνῃ βοῶντες· „εἰπὲ καὶ σὺ τὸ, πόσους παῖδας τίκτεις;“ Ἡ δὲ γελῶσα πρὸς αὐτοὺς ταῦτα λέγει· „σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάνυ.“

Ὁ μῦθος δηλοῖ, ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ καὶ φρονήσει, ἢ πολλοὶ δειλοὶ καὶ ἄφρονες.

241. Λέοντες καὶ Λαγωοί.
(C. 347. ex Aristot. Polit. III, c. 13.)

Δημηγορούντων τῶν δασυπόδων καὶ τὸ ἴσον ἀξιούντων πάντας ἔχειν, οἱ λέοντες ἔφασαν· „οἱ λόγοι ὑμῶν, ὦ δασύποδες, ὀνύχων τε καὶ ὀδόντων, οἵων ἡμεῖς ἔχομεν, δέονται.“

242. Λέοντος βασιλεία. (C. 363. B. 102.)

Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης οὐδὲ ὠμὸς οὐδὲ βίαιος, ἀλλὰ πρᾷος καὶ δίκαιος, ὥσπερ ἄνθρωπος. Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας συναθροισμὸς ἐγένετο πάντων τῶν ζώων, δοῦναι δίκας καὶ λαβεῖν πρὸς ἄλληλα, λύκος μὲν προβάτῳ, πάρδαλις δὲ αἰγάγρῳ, ἐλάφῳ δὲ τίγρις, κύων δὲ λαγωῷ. Ὁ πτὼξ δὲ ἔφη· „ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην, ἵνα τοῖς βιαίοις φοβερὰ τὰ εὐτελῆ φανῶσιν.“

243. Λέων, Ἀλώπηξ καὶ Ἔλαφος.
(C. 358 et p. 408. F. 356. ex B. 95.)

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι· τῇ προσφιλεῖ δὲ

ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν· „εἰ θέλεις ὑγιᾶναί με καὶ ζῆν, τὴν ἔλαφον τὴν μεγίστην, τὴν εἰς τὸν δρυμὸν οἰκοῦσαν, τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα, ἄγε εἰς (τὰς) ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας.“ Ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα εὗρε τὴν ἔλαφον σκιρτῶσαν ἐν ταῖς ὕλαις· προσπαίσασα δὲ αὐτῇ καὶ χαίρειν εἰποῦσα ἔφη· „Ἀγαθά σοι ἦλθον μηνῦσαι· οἶδας, ὡς ὁ βασιλεὺς ἡμῶν λέων γείτων μοί ἐστι· νοσεῖ δὲ καὶ ἐγγύς ἐστι τοῦ θνήσκειν. Ἐβουλεύετο οὖν, ποῖον τῶν θηρίων μετ' αὐτὸν βασιλεύσει. Ἔφη δέ, ὅτι σῦς μέν ἐστιν ἀγνώμων, ἄρκτος δὲ νωθρὰ, πάρδαλις δὲ θυμώδης, τίγρις ἀλαζών· ἡ ἔλαφος ἀξιωτάτη ἐστὶν εἰς βασιλείαν, ὅτι ὑψηλή ἐστι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ, καὶ τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν. Καὶ τί σοι τὰ πολλὰ λέγω; ἐκυρώθης βασιλεύειν. Τί μοι ἔσται, πρώτῃ σοι εἰπούσῃ; Ἀλλ' εὖξαί μοι σπευδούσῃ, μὴ πάλαι με ζητήσῃ· χρῄζει γάρ με σύμβουλον ἐν πᾶσιν. Εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσῃ, συμβουλεύω καὶ σὲ ἐλθεῖν καὶ προσμένειν τελευτῶντι αὐτῷ.“ Οὕτως εἶπεν ἡ ἀλώπηξ· τῆς δὲ ὁ νοῦς ἐτυφώθη τοῖς λόγοις, καὶ ἦλθεν εἰς τὸ σπήλαιον μὴ γιγνώσκουσα τὸ μέλλον. Ὁ λέων δ' ἐφορμήσας αὐτῇ ἐν σπουδῇ, τὰ ὦτα μόνον τοῖς ὄνυξιν ἐσπάραξεν. Ἡ δὲ ταχέως ἔσπευδεν ἐν ταῖς ὕλαις. Καὶ ἡ μὲν ἀλώπηξ τὰς χεῖρας ἐκρότησεν, ὅτι εἰς μάτην ἐκοπίασεν· ὁ δὲ λέων μέγα βρυχώμενος ἐστέναξε· λιμὸς γὰρ αὐτὸν εἶχε καὶ λύπη· καὶ ἱκέτευε τὴν ἀλώπεκα ἐκ δευτέρου τι ποιῆσαι, καὶ δόλῳ πάλιν ταύτην ἀγαγεῖν. Ἡ δὲ εἶπε· „χαλεπὸν καὶ δύσκολον ἐπιτάττεις ἐμοὶ πρᾶγμα, ἀλλ' ὅμως ὑπουργήσω σοι.“ Καὶ δὴ ὡς ἰχνευτὴς κύων ἐπηκολούθει, πλέκουσα πανουργίας· ποιμένας δ' ἐπηρώτα, εἰ εἶδεν ἔλαφον ἡμαγμένην. Οἱ δ' ἔδειξαν ἐν τῇ ὕλῃ. Εὗρε δὲ αὐτὴν ἀναψυχομένην, καὶ ἔστη ἀναιδῶς.

Ἡ δ' ἔλαφος χολωθεῖσα καὶ φρίξασα τὴν χαίτην εἶπεν· „ὦ κάθαρμα, ἀλλὰ οὐκέτι χειρώσῃ με· εἰ δὲ καὶ πλησιάσεις μοι, οὐ ζήσεις ἔτι. Ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους, ἄλλους ποίει βασιλεῖς καὶ ἐρέθιζε." Ἡ δὲ εἶπεν· „οὕτως ἄνανδρος εἶ καὶ δειλή; οὕτως ἡμᾶς τοὺς φίλους ὑποπτεύεις; ὁ μὲν λέων, τοῦ ὠτὸς κρατήσας, ἤμελλε συμβουλεύειν καὶ ἐντολάς σοι δοῦναι περὶ τῆς τηλικαύτης βασιλείας, ὡς ἀποθνήσκων· σὺ δὲ οὐδὲ κνίσμα χειρὸς ἀῤῥώστου ὑπέστης. Καὶ νῦν ὑπὲρ σὲ πλεῖον ἐκεῖνος θυμοῦται, καὶ βασιλέα τὸν λύκον θέλει ποιῆσαι· οἴμοι πονηρὸν δεσπότην! Ἀλλ' ἐλθὲ καὶ μηδὲν πτοηθῇς, καὶ γενοῦ ὡς πρόβατον. Ὄμνυμι γάρ σοι εἰς τὰ φύλλα πάντα καὶ πηγὰς, μηδὲν κακὸν παθεῖν παρὰ τοῦ λέοντος· ἐγὼ δὲ μόνῃ σοι δουλεύσω." Οὕτως ἀπατήσασα τὴν δειλαίαν ἔπεισε δεύτερον ἐλθεῖν. Ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλθεν, ὁ μὲν λέων δεῖπνον εἶχε, πάντα τὰ ὀστᾶ καὶ μυελοὺς καὶ ἔγκατα καταπίνων· ἡ δὲ ἀλώπηξ εἱστήκει ὁρῶσα· καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως, τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. Ὁ δὲ λέων, ἅπαντα ἐρευνήσας, μόνην καρδίαν ἐπεζήτει· ἀλώπηξ δὲ μηκόθεν στᾶσα ἔφη· „αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχε· μὴ ἔτι ζήτει· ποίαν γὰρ καρδίαν αὕτη εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν;"

Ὅτι ὁ τῆς φιλοδοξίας ἔρως τὸν ἀνθρώπων νοῦν ἐπιθολοῖ, καὶ τὰς τῶν κινδύνων συμφορὰς οὐ κατανοεῖ.

244. *Λέων, Ἀλώπηξ καὶ Πίθηκος.* (B. 106.)

Λέων ποτ' ἀνδρῶν βίον ἄριστον ἐξήλου,
καὶ δὴ κατ' εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ὀριτρόφων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.
πολὺς δ' ὑπὸ σπήλυγγι θαμινὰ παντοίων

θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ' εἱστία τε κἀφίλει νόμῳ ξείνων,
λίην τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ' ἧς τὰ πολλὰ μειλίχως συνεξήτει.
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
κρεῶν τε συσσίτοισι διανέμων μοίρας·
ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἷλεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
κερδὼ δ' ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
καὶ δή ποτ' αὐτὴν προσποιητὰ σιγῶσαν
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσαν,
λέων τίν' εἶχεν αἰτίην διηρώτα·
„κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθεις·
φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον."
ἡ δ' εἶπεν· „ὦ φέριστε θηρίων γέννης,
πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει,
τὰ δ' ἔπειτα" φησί „προσκοπουμένη κλαίω.
καθ' ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ' ἄλλος
ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,
τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."
Ὁ λέων δὲ τερφθεὶς ἱλέως τε μειδήσας
εἶπεν· „πιθήκῳ ταῦτα μηδ' ἐμοὶ μέμφου."

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.

245. *Λέων καὶ Ἀετός.* (F. 358. C. 408. B. 100.)

Λέοντι προσπτὰς αἰετῶν τις ἐξήτει
κοινωνὸς εἶναι· χὠ λέων „τί κωλύει;"

πρὸς αὐτὸν εἶπεν· „ἀλλ' ἐνέχυρον ἢ δώσεις
τὠκύπτερόν σου μὴ μεθεῖναι τὴν πίστιν;
πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;"

Ὁ μῦθος ἐκδιδάσκει, μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

246. *Λέων καὶ Ἀλώπηξ.*
(S. 140. C. 137 et p. 336. F. 91. B. 103.)

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν, ἔγνω δεῖν δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον, καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο τὸν νοσοῦντα· καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν εἰς ἐπίσκεψιν ζῶα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο, καὶ στᾶσα ἄπωθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι· τοῦ δὲ εἰπόντος „κακῶς" καὶ τὴν αἰτίαν ἐρομένου, δι' ἣν οὐκ εἴσεισιν, ἔφη· „ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός."

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσι.

247. *Λέων καὶ Ἄρκτος.* (C. 39 et p. 299. F. 96.)

Λέων καὶ ἄρκτος, ὁμοῦ νεβρῷ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιᾶσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, τοῦτον, διὰ μέσου ἀμφοῖν διαδραμοῦσα [καὶ] ἁρπάσασα, φεύγουσα ᾤχετο. Οἱ δὲ βλέποντες μὲν αὐτήν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, „δείλαιοι ἡμεῖς," εἶπον „ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν."

Ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων ἄλλοι κερδαίνουσιν.

247ᵇ. Ἄλλως. (C. 39.)

Λέων καὶ ἄρκτος βρῶμά τι εὑρόντες ἐν ἕλει, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων κατακοπέντες ἐσκοτίσθησαν ἐκ τῆς πολλῆς μάχης, καὶ ἔκειντο ἡμιθανεῖς. Ἀλώπηξ δὲ περιϊοῦσα καὶ θεασαμένη πεπτωκότας, ἰδοῦσα καὶ τὸ βρῶμα κείμενον ἐν μέσῳ, ἄρασα τοῦτο δρομαῖος ᾤχετο. Οἱ δὲ ἰδόντες αὐτὴν καὶ μὴ δυνάμενοι ἀναστῆναι, εἶπον· „ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμαχόμεθα."

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ κοπιῶντες καὶ μοχθοῦντες ἑτέροις κέρδος προσκτῶνται.

248. Λέων καὶ Βάτραχος. (C. 37.)

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ὁ λόγος δηλοῖ, ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

248ᵇ. Ἄλλως. (S. 139. F. 90. C. p. 298.)

Λέων ἀκούσας βατράχου κεκραγότος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι· προσμείνας δὲ μικρὸν χρόνον, ὡς ἐθεάσατο αὐτὸν ἀπὸ τῆς λίμνης ἐξελθόντα, προσελθὼν κατεπάτησεν, εἰπών· „μηδένα ἀκοὴ ταραττέτω πρὸ τῆς θέας."

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα γλωσσώδη, οὐδὲν πλέον τοῦ λαλεῖν δυνάμενον.

249. Λέων καὶ Γεωργός. (S. 138. C. 221 et p. 375. F. 110. B. 98.)

Λέων ἐρασθεὶς θυγατρός τινος γεωργοῦ ταύτην

ἐμνηστεύσατο· ὁ δὲ μὴ ἐκδοῦναι θηρίῳ τὴν θυγατέρα ὑπομένων, μηδὲ ἀρνεῖσθαι διὰ τὸν φόβον δυνάμενος, τοιοῦτόν τι ἐπενόησεν. Ἐπειδὴ συνεχῶς ὁ λέων αὐτῷ ἐπέκειτο, ἔλεγεν, ὡς νυμφίον αὐτὸν τῆς θυγατρὸς δοκιμάζει· μὴ ἄλλως δὲ αὐτῷ δύνασθαι ἐκδοῦναι, ἐὰν μὴ τοὺς ὀδόντας ἐξέληται καὶ τοὺς ὄνυχας ἐκτέμῃ· τούτους γὰρ δεδοικέναι τὴν κόρην ἔφη. Τοῦ δὲ ῥᾳδίως διὰ τὸν ἔρωτα ἑκάτερον ὑπομείναντος, ὁ γεωργὸς καταφρονήσας αὐτοῦ, ὡς παρεγένετο πρὸς αὐτὸν, ῥοπάλοις παίων αὐτὸν ἐξήλασεν.

Οὕτως οἱ ῥᾳδίως τοῖς ἐχθροῖς πιστεύοντες, ὅταν τῶν ἰδίων πλεονεκτημάτων ἑαυτοὺς ἀπογυμνώσωσιν, εὐάλωτοι τούτοις γίνονται, πρότερον φοβεροὶ καθεστηκότες.

249^{b}. *Ἄλλως*. (C. p. 145. ex Diod. XVIII, c. 25.)

Ἐρασθέντα φασὶ λέοντα παρθένου διαλεχθῆναι τῷ πατρὶ τῆς κόρης ὑπὲρ τοῦ γάμου· τὸν δὲ πατέρα λέγειν, ὡς ἕτοιμος μέν ἐστιν αὐτῷ δοῦναι, δεδοικέναι δὲ τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας, μή ποτε γήμας καὶ παροξυνθεὶς διά τινα αἰτίαν προσενέγκηται τῇ παρθένῳ θηριωδῶς. Τοῦ δὲ λέοντος ἐξελόντος τούς τε ὄνυχας καὶ τοὺς ὀδόντας, τὸν πατέρα θεωρήσαντα πάντα δι' ὧν ἦν φοβερὸς ἀποβεβληκότα, τύπτοντα τῷ ξύλῳ ῥᾳδίως ἀποκτεῖναι.

250. *Λέων καὶ Γεωργός*. (S. 142. F. 93. C. 220 et p. 375.)

Λέων εἰς ἔπαυλιν γεωργοῦ εἰσῆλθεν· ὁ δὲ συλλαβεῖν βουλόμενος τὴν αὔλειαν θύραν ἔκλεισε. Καὶ ὃς ἐξελθεῖν μὴ δυνάμενος πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα δὲ καὶ ἐπὶ τοὺς βόας ἐτράπη. Καὶ ὁ γεωργὸς φοβηθεὶς περὶ αὐτοῦ τὴν θύραν ἤνοιξεν. Ἀπαλλαγέντος δὲ τοῦ λέοντος, ἡ γυνὴ θεασαμένη αὐτὸν στέ-

νοντα εἶπεν· „ἀλλά γε σὺ δίκαια πέπονθας· τί γὰρ τοῦτον συγκλεῖσαι ἠβούλου, ὃν καὶ ἀπὸ μακρόθεν σε ἔδει τρέμειν;“

Οὕτως οἱ πονηροὶ τοὺς ἰσχυροτέρους διερεθίζοντες εἰκότως τὰς ἐξ αὐτῶν πλημμελείας ὑπομένουσι.

251. *Λέων καὶ Δελφίς.* (S. 143. C. 222. F. 297.)

Λέων ἔν τινι αἰγιαλῷ πλαζόμενος, ὡς ἐθεάσατο δελφῖνα παρακύψαντα, ἐπὶ συμμαχίαν παρεκάλεσε, λέγων, ὅτι ἁρμόζει μάλιστα φίλους ἑαυτοὺς καὶ βοηθοὺς γενέσθαι· „σὺ μὲν γὰρ τῶν θαλαττίων ζώων, αὐτὸς δὲ τῶν χερσαίων εἰμὶ βασιλεύς.“ Τοῦ δὲ ἀσμένως ἐπινεύσαντος, ὁ λέων μετ' οὐ πολὺν χρόνον τινὰ μάχην ἔχων πρὸς ταῦρον ἄγριον προσεκάλει τὸν δελφῖνα εἰς βοήθειαν· ὡς δὲ ἐκεῖνος βουλόμενος ἐκβῆναι τῆς θαλάσσης οὐκ ἠδύνατο, ᾐτιᾶτο αὐτὸν ὁ λέων ὡς προδότην. Ὁ δὲ ὑποτυχὼν εἶπεν· „ἀλλὰ μὴ ἐμὲ μέμφου, τὴν φύσιν δὲ, ἥτις με θαλάσσιον ποιήσασα γῆς οὐκ ἐᾷ ἐπιβῆναι.“

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ φιλίαν σπενδομένους τοιούτους ἐπιλέγεσθαι συμμάχους, οἳ ἐν τοῖς κινδύνοις πανταχοῦ παρεῖναι δύνανται.

252. *Λέων θυμωθεὶς καὶ Δορκάς.* (C. 348. B. 90.)

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
„ὦ μοῖρα θηρῶν“ εἶπεν „ἀθλιωτάτη·
εἰ σωφρονεῖν γὰρ δυσκάθεκτος εἶ λέων,
πῶς νῦν μανεὶς οὐ μεστὰ δράσεις δακρύων;“

Ὅτι ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

253. *Λέων καὶ Κάπρος.* (C. 223. F. 298.)

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα δίψει λυπεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. Ἤριζον δὲ,

τίς πρῶτος αὐτῶν πίῃ· ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθησαν. Ἄφνω δὲ ἐπιστραφέντες πρὸς τὸ ἀναπνεῦσαι, εἶδον γῦπας ἐκδεχομένους, ὃς αὐτῶν πέσῃ, τοῦτον καταφαγεῖν. Διὰ τοῦτο λύσαντες τὴν ἔχθραν εἶπον· „κρεῖσσόν ἐστι ἡμᾶς φίλους γενέσθαι, ἢ βρῶμα γυψὶ καὶ κόραξιν."

Ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν ἐστι διαλύειν, ἐπειδὴ πᾶσιν ἐπικίνδυνον τέλος ἄγουσιν.

254. *Λέων καὶ Λαγωός.* (S. 146. C. 224. F. 97.)

Λέων ἐπιτυχὼν λαγωῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τῶν ψόφων ἐξαναστὰς ἔφυγεν·. ὁ δὲ λέων, ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βορὰν, ἐλπίδα μείζονα προὔκρινα."

Οὕτως ἔνιοι τῶν ἀνθρώπων μὴ μετρίοις κέρδεσιν ἐπαρκούμενοι λανθάνουσι καὶ τὰ ἐν χερσὶ προϊέμενοι.

255. *Λέων, Λύκος καὶ Ἀλώπηξ.* (C. 72. F. 233.)

Λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ· παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα πλὴν ἀλώπεκος τἄλλα τῶν ζώων. Ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. Ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο· ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα „καὶ τίς σε" ἔφη „τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν, ὅσον ἐγὼ, πανταχόσε περινοστήσασα καὶ θεραπείαν ὑπὲρ σοῦ παρ'

ἰατροῦ ζητήσασα καὶ μαθοῦσα;“ Τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησίν· „εἰ λύκον ζῶντα ἐκδείρας τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ.“ Καὶ τοῦ λύκου αὐτίκα νεκροῦ κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν οὕτως· „οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.“

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

256. *Λέων καὶ Μῦς.* (S. 148. C. 217 et p. 373. F. 98. B. 107.)

Λέοντος κοιμωμένου μῦς τῷ στόματι ἐπέδραμεν· ὁ δὲ ἐξαναστὰς καὶ συλλαβὼν αὐτὸν ἔμελλε καταθοινήσασθαι. Ὁ δ' ἐδεήθη αὐτοῦ μὴ φαγεῖν αὐτὸν, λέγων, ὅτι σωθεὶς πολλὰς χάριτας αὐτῷ ἀποδώσει· γελάσας δὲ αὐτὸν ἀπέλυσε. Συνέβη οὖν αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι. Ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγῶν κάλῳ ἐδέθη ἐπί τινι δένδρῳ, τηνικαῦτα ὁ μῦς ἀκούσας αὐτοῦ στένοντος ἐλθὼν τὸν κάλων περιέτρωγε, καὶ λύσας ἔφη· „σὺ μὲν οὖν τότε μου κατεγέλασας, ὡς μὴ προσδοκῶν παρ' ἐμοῦ ἀμοιβὴν κομίσασθαι· νῦν δ' ἴσθι, ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις.“

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν καιρῷ μεταβολῆς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

257. *Λέων, Μῦς καὶ Ἀλώπηξ* [ἢ *Λέων μῦν φοβηθείς*].
(F. 95. C. p. 374. S. 144. B. 82.)

Λέοντος κοιμωμένου, μῦς τῷ στόματι περιέδραμεν. Ὁ δὲ ἐξαναστὰς πανταχοῦ † περιειλίττετο, ζητῶν τὸν προσεληλυθότα. Ἀλώπηξ δὲ αὐτὸν θεασαμένη ὠνείδιζεν, εἰ λέων ὢν ἐφοβήθη μῦν. Ὁ δέ φησιν· „ἀλλὰ κατὰ τῆς γνώμης αὐτοῦ τὴν ὀργὴν ἔχω.“

Ὁ λόγος διδάσκει, τοὺς φρονίμους τῶν ἀνθρώπων μηδὲ τῶν μετρίων πραγμάτων καταφρονεῖν.

257[b]. *Ἄλλως*. (C. 218.)

Λέων ποτὲ καύματος ὥρᾳ ἔν τινι σπηλαίῳ ἀνεπαύετο. Μυὸς δὲ διὰ τῆς χαίτης αὐτοῦ διαδραμόντος, ταραχθεὶς καὶ ἐξαναστὰς φοβερὸν ἀπέβλεπεν. Ἀλώπεκος δὲ καταγελώσης εἶπεν· „οὐ τὸν μῦν ἐφοβήθην, ἀλλὰ τὴν κακὴν ὁδὸν καὶ συνήθειαν ἀνατρέπω.“

Ὅτι τῇ κακῇ συνηθείᾳ οὐ δεῖ παρέχειν ἄδειαν· νομὴν γὰρ λαβοῦσα λύπην ἐσχάτην ποιεῖ.

258. *Λέων καὶ Ὄναγρος*. (C. 225. F. 299. B. 67.)

Θῆρας ἐθήρευον λέων καὶ ὄναγρος, ὁ μὲν λέων διὰ τῆς δυνάμεως, ὁ δὲ ὄναγρος διὰ τῆς ἐν ποσὶ ταχύτητος. Ἐπεὶ δὲ ζῶά τινα ἐθήρευσαν, ὁ λέων μερίζει καὶ τίθησι τὰς μοίρας. „Τὴν μὲν μίαν“ εἶπεν „λήψομαι ὡς πρῶτος, βασιλεὺς γάρ εἰμι· τὴν δὲ δευτέραν, ὡς ἐξ ἴσου κοινωνῶν· ἡ δὲ τρίτη μοῖρα, αὕτη κακὸν μέγα σοι ποιήσει, ἢν μὴ ἐθέλῃς φυγεῖν.

Ὅτι καλὸν ἑαυτὸν μετρεῖν ἐν πᾶσι κατὰ τὴν ἑαυτοῦ ἰσχὺν, καὶ δυνατωτέροις ἑαυτὸν μὴ συνάπτειν μηδὲ κοινωνεῖν.

259. *Λέων καὶ Ὄνος*. (S. 149. C. 226 et p. 376. F. 99.)

Λέων καὶ ὄνος κοινωνίαν πρὸς ἀλλήλους σπεισάμενοι ἐξῆλθον ἐπὶ θήραν. Γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον, ἐν ᾧ ἦσαν ἄγριαι αἶγες, ὁ μὲν λέων πρὸ τοῦ στομίου στὰς ἐξιούσας παρετηρεῖτο, ὁ δὲ εἰσελθὼν ἤλαυνεν αὐτὰς, καὶ ὠγκᾶτο ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος τὰς πλείστας συλλαβόντος, ἐξελθὼν ἐκεῖνος ἐπυνθάνετο αὐτοῦ, εἰ γενναίως ἠγωνίσατο καὶ τὰς αἶγας ἐδίωξεν; Ὁ δὲ εἶπεν· „ἀλλ' εὖ ἴσθι, ὅτι κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ᾔδειν ὄνον ὄντα σε.“

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι εἰκότως γέλωτα ὀφλισκάνουσι.

260. *Λέων, Ὄνος καὶ Ἀλώπηξ.*
(C. 38 et p. 298. S. 147. F. 109.)

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν ποιησάμενοι ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφαγεν. Εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτήν· „τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν;“ Ἡ δ' εἶπεν· „ἡ τοῦ ὄνου συμφορά.“

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

261. *Λέων, Προμηθεὺς καὶ Ἐλέφας.* (F. 357. C. 407.)

Λέων κατεμέμφετο Προμηθέα πολλάκις, ὅτι μέγαν αὐτὸν ἔπλασε καὶ καλὸν, καὶ τὴν μὲν γένυν ὥπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε τοῖς ὄνυξιν, ἐποίησέ τε τῶν ἄλλων θηρίων δυνατώτερον· „ὁ δὲ τοιοῦτος“ ἔφασκε „τὸν ἀλεκτρυόνα φοβοῦμαι.“ Καὶ ὁ Προμηθεὺς ἔφη· „τί με μάτην αἰτιᾷ; τὰ γὰρ ἐμὰ πάντα ἔχεις, ὅσα πλάττειν ἐδυνάμην· ἡ δέ σου ψυχὴ πρὸς τοῦτο μόνον μαλακίζεται.“ Ἔκλαιεν οὖν ἑαυτὸν ὁ λέων, καὶ τῆς δειλίας κατεμέμφετο, καὶ τέλος ἀποθανεῖν ἤθελεν. Οὕτω δὲ γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει, καὶ προσαγορεύσας εἱστήκει διαλεγόμενος. Καὶ ὁρῶν διαπαντὸς τὰ ὦτα κινοῦντα, „τί πάσχεις“ ἔφη „καὶ τί δήποτε οὐδὲ μικρὸν ἀτρεμεῖ σου τὸ οὖς;“ Καὶ ὁ ἐλέφας, κατὰ τύχην περιπτάντος αὐτῷ κώνωπος, „ὁρᾷς“ ἔφη „τοῦτο τὸ βραχὺ, τὸ βομβοῦν; ἢν εἰσδύνῃ μου τῇ τῆς ἀκοῆς ὁδῷ, τέθνηκα.“ Καὶ ὁ λέων· „τί οὖν ἔτι ἀποθνήσκειν“

ἔφη „με δεῖ, τοσοῦτον ὄντα καὶ ἐλέφαντος εὐτυχέστερον, ὅσον κρείττων κώνωπος ὁ ἀλεκτρυών;“

Ὁρᾷς, ὅσον ἰσχύος ὁ κώνωψ ἔχει, ὡς καὶ ἐλέφαντα φοβεῖν.

262. *Λέων καὶ Ταῦρος.*
(S. 141. C. 227 et p. 377. F. 92. B. 97.)

Λέων ταύρῳ παμμεγέθει ἐπιβουλεύων ἠβουλήθη αὐτοῦ περιγενέσθαι· διόπερ πρόβατον τεθυκέναι φήσας πρὸς ἑστίασιν αὐτὸν ἐκάλεσε, βουλόμενος κατακλιθέντα αὐτὸν καταγωνίσασθαι. Ὁ δὲ ἐλθὼν καὶ θεασάμενος λέβητας πολλοὺς καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον οὐδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐδὲν δεινὸν παθὼν ἀλόγως ἄπεισιν, ἔφη· „ἀλλ' ἔγωγε οὐ μάτην ποιῶ· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' εἰς ταῦρον ἡτοιμασμένην.“

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσι.

263. *Λέων καὶ Ταῦρος.* (C. 339. F. 410.)

Λέων ποτὲ ταῦρον ὁρᾷ, καὶ τροφῆς μὲν ἐρᾷ, τὰς δὲ τῶν κεράτων δειδίττεται προσβολάς, καὶ τὸ φάρμακον εὑρὼν οὐ θεραπεύει τὸ πάθος· νικᾷ μὲν αὐτὸν ὁ λιμός, καὶ τῷ ταύρῳ κελεύει συμπλέκεσθαι, ἀλλ' ἐκφοβεῖ τῶν κεράτων τὸ μέγεθος. Τέλος πείθεται τῷ λιμῷ, καὶ φιλίαν πλασάμενος εἰς ἀπάτην τὸν ταῦρον ὑπέρχεται· ὅπου γὰρ τὸ κακὸν πρόχειρον, καὶ τὸ ἀνδρεῖον πεφόβηται· κἂν ἴδῃ τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ λάθρᾳ σοφίζεται. „Ἐγὼ γοῦν“ φησὶν „ἐπαινῶ σου τὸ καρτερόν, ὑπεράγαμαι τὸ κάλλος, ὁποῖος μὲν εἶ τὴν κεφαλήν, ὁποῖος δὲ τὴν μορφήν, ὅσος δὲ τοὺς πόδας, ὅσος δὲ τὰς ὁπλάς· ἀλλ' ὅσον ἐπὶ τῆς κεφαλῆς

φέρεις τὸ ἄχθος! Περίελε γοῦν οὕτω ματαίαν ἐπιπλοκὴν, καί σοι καὶ κόσμος ἔσται τῆς κεφαλῆς, καὶ βάρους ἀπαλλαγὴ, καὶ πρὸς τὸ κρεῖττον μεταβολή. Τί δὲ καὶ δεῖ σοι κεράτων, εἰρήνης οὔσης πρὸς λέοντας;" Πείθεται τούτοις ὁ ταῦρος, καὶ τὴν ἐκ τῶν ὅπλων ἰσχὺν ἀποβαλὼν, τῷ λέοντι λοιπὸν εὐχείρωτος ἦν καὶ δεῖπνον ἀκίνδυνον.

Οὕτω τὸ πείθεσθαι τοῖς ἐχθροῖς μετὰ τῆς ἀπάτης φέρει καὶ κίνδυνον.

264. *Ληστὴς καὶ Συκάμινος.* (S. 150. F. 100. C. 400.)

Ληστὴς ἐν ὁδῷ τινα ἀποκτείνας, ἐπειδὴ παρὰ τῶν ἐπιτυχόντων ἐδιώκετο, καταλιπὼν αὐτὸν ἔφυγε. Τῶν δὲ ἄντικρυς ὁδευόντων πυνθανομένων αὐτοῦ, τίνι μεμολυσμένας ἔχοι τὰς χεῖρας, ἔλεγεν ἀπὸ συκαμίνου καταβεβηκέναι· καὶ ὡς ταῦτα ἔλεγεν, οἱ διώκοντες αὐτὸν ἐπελθόντες καὶ συλλαβόμενοι εἴς τινα συκάμινον αὐτὸν ἐσταύρωσαν. Ἡ δὲ συκάμινος ἔφη· „ἀλλ' ἔγωγε οὐκ ἄχθομαι πρὸς τὸν σὸν θάνατον ὑπηρετοῦσα· καὶ γὰρ ὃν αὐτὸς φόνον κατειργάσω, τοῦτον εἰς ἐμὲ † ἐξαιμάτωσας."

Οὕτως πολλάκις καὶ οἱ φύσει χρηστοὶ, ὅταν ὑπό τινων ὡς φαῦλοι διαβάλλωνται, κατ' αὐτῶν πονηρεύεσθαι οὐκ ὀκνοῦσι.

265. *Λιθουργὸς καὶ Ἑρμῆς.* (B. 30.)

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην·
τὸν δ' ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνημ' ὡς θεὸν καθιδρύσων.
ἦν δ' ὀψέ, χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι

ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶπεν ὑπνώσας αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις εἶδεν λέγοντα· „τἀμὰ νῦν ταλαντεύῃ· ἢ γάρ με νεκρὸν ἢ θεὸν σὺ ποιήσεις.“

266. *Λύκοι καὶ Κύνες.* (C. 233. F. 302.)

Οἱ λύκοι τοῖς κυσὶν εἶπον· „Διὰ τί ὅμοιοι ὄντες ἡμῖν ἐν πᾶσιν, οὐχ ὁμοφρονεῖτε ἡμῖν ὡς ἀδελφοί; οὐδὲν γὰρ ὑμῶν διαλλάττομεν, πλὴν τῇ γνώμῃ. Καὶ ἡμεῖς μὲν ἐλευθερίᾳ συζῶμεν· ὑμεῖς δὲ τοῖς ἀνθρώποις ὑποκύπτοντες καὶ δουλεύοντες, πληγὰς παρ' αὐτῶν ὑπομένετε, καὶ κλοιὰ περιτίθεσθε, καὶ φυλάττετε καὶ τὰ πρόβατα· ὅτε δὲ ἐσθίουσι, μόνα τὰ ὀστᾶ ὑμῖν ἐπιῤῥίπτουσι. Ἀλλ' ἐὰν πείσησθε, πάντα τὰ ποίμνια ἔκδοτε ἡμῖν, πάντα κοινὰ εἰς κόρον ἐσθίοντες.“ Ὑπήκουσαν οὖν πρὸς ταῦτα οἱ κύνες· οἱ δὲ ἔνδον τοῦ σπηλαίου εἰσελθόντες, πρότερον τοὺς κύνας διέφθειραν.

Ὅτι οἱ τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους μισθοὺς λαμβάνουσι.

267. *Λύκοι καὶ Κύνες.* (C. 359. B. 85.)

Λύκοις καὶ κυσὶν ἦν ποτε ἔχθρα· κύων δὲ Ἕλλην ᾑρέθη στρατηγὸς κυσίν. Οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν· οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς. Ὁ δὲ εἶπεν· „Οἴδατε, τίνος χάριν βραδύνω; πρέπον ἐστὶν ἀεὶ προβουλεύεσθαι. Ὑμῶν γὰρ τὸ γένος καὶ ἡ χροιὰ πάντων ἕν ἐστιν· οἱ ἡμέτεροι δ' ἐκ πολλῶν τρόπων εἰσὶ καὶ τοῖς τόποις καυχῶνται. Ἀλλὰ καὶ ἡ χροιὰ ἁπάντων οὐκ ἔστι μία καὶ ἴση· ἀλλ' οἱ μὲν μέλανες, οἱ δὲ πυῤῥοί, οἱ δὲ λευκοί, οἱ δὲ τεφρώδεις. Καὶ πῶς ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοιά πάντα ἐχόντων;“

268. *Λυκοι καὶ Πρόβατα.* (S. 151. C. 237. F. 211.)

Λύκοι ἐπιβουλεύοντες ποίμνῃ προβάτων, ἐπειδὴ οὐκ ἠδύναντο αὐτῶν περιγενέσθαι διὰ τοὺς φυλάσσοντας αὐτὰ κύνας, ἔγνωσαν δεῖν διὰ δόλου τοῦτο πρᾶξαι. Καὶ πέμψαντες πρέσβεις ἐξήτουν παρ' αὐτῶν τοὺς κύνας, λέγοντες, ἐκείνους τῆς ἔχθρας ὄντας αἰτίους ἐγχειρίζεσθαι δεῖν αὐτοῖς, καὶ εἰρήνην μεταξὺ αὐτῶν γενήσεσθαι. Τὰ δὲ πρόβατα μὴ προβλέποντα τὸ μέλλον ἐξέδωκαν τοὺς κύνας· καὶ οἱ λύκοι περιγενόμενοι ἐκείνων ῥαδίως τὴν ποίμνην ἀφύλακτον οὖσαν διέφθειραν.

Οὕτω καὶ τῶν πόλεων αἱ τοὺς δημηγόρους ῥαδίως προδιδοῦσαι λανθάνουσι καὶ αὗται ταχέως πολεμίοις χειρούμεναι.

268b. *Ἄλλως.* (C. p. 156.)

Καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. Τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες ἔφασαν τοῖς προβασιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. Τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν.

269. *Λύκοι, Πρόβατα καὶ Κριός.* (C. 238. F. 304. B. 93.)

Λύκοι πρέσβεις ἔστειλαν τοῖς προβάτοις, εἰρήνην ποιῆσαι μετ' αὐτῶν διηνεκῆ, εἰ τοὺς κύνας λάβωσι καὶ διαφθείρωσι. Τὰ μωρὰ δὲ πρόβατα συνέθεντο τοῦτο ποιῆσαι· ἀλλά τις γέρων κριὸς εἶπεν· „πῶς ὑμῖν πιστεύσω καὶ συνοικήσω, ὅπου, καὶ τῶν κυνῶν φυλαττόντων με, ἀκινδύνως νέμεσθαι οὐ δυνατόν ἐστι;“

Ὅτι οὐ δεῖ τινα ἀσφαλείας τῆς ἑαυτοῦ γυμνωθῆναι, τοῖς ἀκαταλλάκτοις ἐχθροῖς δι' ὅρκων πεισθέντα.

270. *Λύκος καὶ Αἴξ.* (S. 154. C. 230 et p. 379. F. 103.)

Λύκος θεασάμενος αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, παρῄνει αὐτῇ κατωτέρω καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων, ὡς καὶ λειμῶνές (εἰσι) παρ' αὐτῷ, καὶ ἡ πόα φαιδροτέρα. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· „ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, αὐτὸς δὲ τροφῆς ἀπορεῖς."

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ, ὅταν παρὰ τοῖς εἰδόσι πονηρεύωνται, ἀνόνητοι τῶν τεχνασμάτων γίνονται.

271. *Λύκος καὶ Ἀλώπηξ.* (C. 232. F. 301. B. 53.)

Εἰς λύκον ἀλώπηξ ἐνέπεσεν· ἐδυσώπει δὲ ὡς γραῦν αὐτὴν οὖσαν μὴ ἀποκτεῖναι. Ὁ δὲ λύκος ἔφη· „ἐὰν τρεῖς λόγους ἀληθεῖς εἴπῃς μοι, ἀπολυθήσῃ." Ἡ δὲ εἶπεν· „εἴθε μή σοι συνήντησα," καὶ „μηδαμῶς τῇ ὥρᾳ ταύτῃ ζήσαις," καὶ „μήπως πάλιν συναντήσαις μοι."

Ὅτι ἐν περιστάσει τις ἐμπεσὼν, καὶ τὰς κεκρυμμένας τῆς ψυχῆς βουλὰς ἐξάγει.

271[b]. *Ἄλλως. Λύκος καὶ Παιδίον.* (S. 156.)

Λύκος τροφῆς κεκορεσμένος, ἐπειδὴ ἐθεάσατο παιδίον ἐπὶ γῆς βεβλημένον, αἰσθόμενος ὅτι διὰ τὸν ἑαυτοῦ φόβον ἐπεπτώκει, προσελθὼν παρεθάῤῥυνεν αὐτὸ, λέγων ὡς, ἂν τρεῖς λόγους ἀληθεῖς αὐτῷ εἴπῃ, ἀπολύει αὐτό. Καὶ ἀρξάμενος ἔλεγε πρῶτον, μὴ βούλεσθαι αὐτῷ περιτυχεῖν, δεύτερον, παραπλησίως ἡμαρτηκέναι τυφλῷ· τρίτον, „κακοὶ κακῶς ἀπόλοιντο πάντες οἱ λύκοι, ὅτι μηδὲν παθόντες ὑφ' ἡμῶν κακῶς πολεμεῖτε

ἡμᾶς.“ Καὶ ὁ λύκος ἀποδεξάμενος τὸ ἀψευδὲς αὐτοῦ ἀπέλυσεν αὐτό.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις ἡ ἀλήθεια καὶ παρὰ πολεμίοις ἰσχύει.

272. *Λύκος καὶ Ἀλώπηξ.* (F. 360. C. 410. B. 101.)

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,
λέοντα δ' αὐτὸν ἐπεκάλουν· ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα „μὴ φρενωθείην“
ἔφη „τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης·
σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίγνῃ.“

Πρὸς τοὺς ὑπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινουμένους καὶ μέγα φρονοῦντας, ἐλεγχομένους δὲ ἑαυτοὺς ἐπιγινώσκοντας.

273. *Λύκος καὶ Ἀρνίον.* (F. 107. C. 228 et p. 378.)

Λύκος ἀρνίον ἐδίωκε· τὸ δὲ εἴς τι ἱερὸν κατέφυγε. Προσκαλουμένου δὲ αὐτὸ τοῦ λύκου, καὶ λέγοντος, ὅτι θυσιάσει αὐτὸ ὁ ἱερεύς, εἰ καταλάβῃ, τῷ θεῷ, ἐκεῖνο ἔφη· „ἀλλ' αἱρετώτερόν μοί ἐστι θεοῦ θυσία γενέσθαι, ἢ ὑπὸ σοῦ διαφθαρῆναι.

Ὁ λόγος δηλοῖ, ὅτι οἷς ἐπίκειται τὸ ἀποθανεῖν, κρείττων ἐστὶν ὁ μετὰ δόξης θάνατος.

274. *Λύκος καὶ Ἀρνός.* (F. 101. C. 229 et p. 378. B. 89.)

Λύκος ἄρνα εὑρὼν πεπλανημένον, οὐκ ἀφήρπασε χειρὶ δυνατωτάτῃ, ἀλλ' ἠθέλησε μετ' εὐλόγου αἰτίας τοῦτον φαγεῖν. Εἶπε δὲ πρὸς αὐτὸν τοιαῦτα· „πέρυσι σὺ πολλὰ καθύβρισάς με.“ Ὁ δὲ πρὸς αὐτὸν θρηνῳδῶν ἀνεβόα· „ἔγωγ' οὐκ ἐν τούτῳ γεγένημαι τῷ

χρόνῳ.“ Καὶ ὁ λύκος εἶπε πρὸς αὐτόν· „τὴν ἄρουράν μου νέμῃ.“ Ὁ δ' ἀρνὸς ἔφη· „ἀκμὴν τροφὴν οὐκ εἶδον.“ Πάλιν ὁ λύκος· „ἐκ τῆς πηγῆς μου πίνεις.“ Ὁ δὲ „οὔπω πέπωκα ὕδωρ“ προσεῖπεν αὐτῷ· „τῆς γὰρ μητρός μου τὸ γάλα ἡ τροφή μου καὶ τὸ πόμα μου.“ Ὁ δὲ συλλαβὼν καὶ φαγὼν τοῦτον, εἶπεν· „ἀλλ' ἐγὼ τέως ἄδειπνος οὐ μενῶ, εἰ καὶ σὺ ἀφορμὴν ἐμὴν πᾶσαν λύεις.“

Ὁ μῦθος δηλοῖ, ὅτι γνώμην κακούργου καὶ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς τυγχάνῃ.

274ᵇ. Ἄλλως. *Λύκος καὶ Ἀρήν.* (S. 152. C. 229.)

Λύκος θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἠβουλήθη μετά τινος εὐλόγου αἰτίας καταθοινήσασθαι. Διόπερ στὰς ἀνωτέρω ᾐτιᾶτο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ, καὶ πίνειν αὐτὸν οὐκ ἐῶντα. Τοῦ δὲ λέγοντος, ὡς ἄκροις τοῖς χείλεσι πίνει, καὶ ἄλλως οὐ δυνατὸν, αὐτοῦ ἑστῶτος κάτω, ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας ἔφη· „ἀλλὰ πέρυσι τὸν πατέρα μου ἐλοιδόρησας.“ Εἰπόντος δὲ ἐκείνου, μηδέπω τότε γεννηθῆναι, ὁ λύκος ἔφη πρὸς αὐτόν· „κἂν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐχ ἧττον κατέδομαι.“

Ὁ λόγος δηλοῖ, ὅτι οἷς πρόθεσίς ἐστιν ἀδικεῖν, παρ' αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

275. *Λύκος καὶ Γραῦς.* (C. 138 et p. 337. F. 104.)

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ γραὸς λεγούσης αὐτῷ· „παῦσαι τοῦ κλαίειν· εἰ δὲ μὴ, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ.“ Οἰόμενος δὴ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. Ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν

τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ· „ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν.“ Ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο λέγων· „ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.“

Ὁ μῦθος πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

275ᵇ. *Ἄλλως.* (S. 155.)

Λύκος λιμώττων περιῄει ζητῶν ἑαυτῷ τροφήν. Ὡς δὲ ἐγένετο κατά τινα τόπον, ἀκούσας γραὸς παιδὶ κλαίοντι ἀπειλουμένης, ὡς, ἂν μὴ παύσηται, βαλεῖ λύκῳ, οἰόμενος ἀληθεύειν προσέμενεν. Ἑσπέρας δὲ γενομένης, ὡς οὐδὲν τοῖς λόγοις ἀκόλουθον ἐγένετο, ἀπαλλαττόμενος ἔφη· „ἐν ταύτῃ τῇ ἐπαύλει οἱ ἄνθρωποι ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ποιοῦσιν.“

Ὁ λόγος ἁρμόσει τοῖς μὴ τοῖς λόγοις τὰ ἔργα ἔχουσιν ἑπόμενα.

275ᶜ. *Ἄλλως.* (C. 138, c. B. 16.)

Αἰτοῦντι τροφὴν νηπίῳ καὶ κλαίοντι ἠπείλησε γραῦς, εἰ μὴ ἡσυχάσαι, τῷ λύκῳ ῥῖψαι. Ὁ δὲ λύκος, τὴν γραῦν ἀληθεύειν νομίσας, ἐκαρτέρησε μέχρις ἑσπέρας πεινῶν, μηδὲν λαβών. Εἰς δὲ τὴν σύνοικον ἐλθὼν ἠρωτᾶτο, πῶς οὐδὲν ἄρας ἦλθεν, ὡς ἀεί. Ὁ δ' εἶπε· „πῶς γάρ τις πιστεύσας γυναικί;“

276. *Λύκος καὶ Ἐρωδιός.* (S. 153. B. 94.)

Λύκος καταπιὼν ὀστοῦν περιῄει ζητῶν τὸν ἰασόμενον. Περιτυχὼν δὲ ἐρωδιῷ, τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀστοῦν ἐξελεῖν· κἀκεῖνος καθεὶς τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν φάρυγγα αὐτοῦ τὸ ὀστοῦν ἐξέσπασε, καὶ τὸν ὁμολογηθέντα μισθὸν ἐξῄτει. Ὁ δὲ λύκος γε-

λάσας καὶ τοὺς ὀδόντας θήξας φησίν· „ἀρκεῖ σοι καὶ τὸ μόνον σῴαν ἐξελεῖν τὴν κεφαλήν.“

Ὁ λόγος δηλοῖ, ὅτι μεγίστη παρὰ τοῖς πονηροῖς εὐεργεσία τὸ μὴ προσαδικεῖσθαι ὑπ' αὐτῶν.

276b. Ἄλλως. Λύκος καὶ Γέρανος.
(F. 94. 102. C. 144 et p. 342.)

Λύκου ποτὲ λαιμῷ ὀστέον ἐπάγη· τῇ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς προσεπιβαλοῦσα, ἐξανασπάσαι ἐκ τοῦ λαιμοῦ αὐτοῦ τὸ ὀστοῦν. Ἡ δὲ ἐκβαλοῦσα τὸν μισθὸν ἐπεζήτει. Γελάσας οὖν ὁ λύκος καὶ τοὺς ὀδόντας θήξας, „ἀρκεῖ σοι“ εἶπεν „ἀντὶ μισθοῦ τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξεῖλες κάραν σῴαν μηδὲν παθοῦσαν.“

Ὁ μῦθος πρὸς ἄνδρας δολίους, οἵτινες ἐκ κινδύνων διασωθέντες, τοῦτο παρέχουσι τοῖς εὐεργέταις ἀντὶ χάριτος, τὸ μὴ βλάψαι αὐτούς.

277. Λύκος καὶ Ἵππος. (Ϛ. 231. F. 300.)

Λύκος, κατά τινα ἄρουραν ὁδεύων, εὗρε κριθάς. Μὴ δυνάμενος δὲ αὐταῖς τροφῇ χρήσασθαι, καταλιπὼν ἀπῄει. Ἵππῳ δὲ συντυχὼν, [τοῦτον ἐπὶ τὴν ἄρουραν] ἐκεῖ αὐτὸν ἐκάλει, λέγων, ὡς εὑρὼν κριθὰς αὐτὸς μὲν οὐκ ἔφαγεν, αὐτῷ δὲ ἐφύλαξεν, ἐπειδὴ καὶ ἡδέως αὐτοῦ τὸν ψόφον τῶν ὀδόντων ἀκούει. Καὶ ἵππος ὑποτυχὼν ἔφη· „ἀλλ' ὦ οὗτος, εἰ λύκοι κριθῶν τροφῇ χρῆσθαι ἠδύναντο, οὐκ ἄν ποτε τὰ ὦτα τῆς γαστρὸς προέκρινας.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν χρηστότητα ἐπαγγέλλωνται, οὐ πιστεύονται.

278. Λύκος καὶ Κύων. (F. 361. C. 411. B. 99.)

Λύκος ἐν κλοιῷ δεδεμένον ὁρῶν μέγιστον κύνα

ἤρετο· „δήσας τίς σ' ἐξέθρεψε τοῦτον;" Ὁ δὲ ἔφη· „κυνηγός." „Ἀλλὰ τοῦτο μὴ πάθοι" λύκος (ἔφη) „ἐμοὶ φίλος· λιμὸς γὰρ ἡ κλοιοῦ βαρύτης."

Ὁ λόγος δηλοῖ τὸ ἐν ταῖς συμφοραῖς οὐδὲ γαστρίζεσθαι.

279. *Λύκος καὶ Λέων.* (C. 234. F. 303 et 416. B. 105.)

Λύκος ποτὲ ἄρας πρόβατον ἐκ ποιμνίου, ἐκόμιζεν αὐτὸ εἰς κοίτην· λέων δὲ αὐτῷ συναντήσας, ἀφείλετο τὸ πρόβατον. Ὁ δὲ πόῤῥωθεν σταθεὶς εἶπεν· „ἀδίκως ἀφείλου τὸ ἐμόν." Ὁ δὲ λέων γελάσας ἔφη· „σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη;"

Τοὺς ἅρπαγας καὶ πλεονέκτας λῃστὰς, ἐν ἑνὶ πταίσματι κειμένους καὶ ἀλλήλους μεμφομένους, ὁ λόγος ἐλέγχει.

279[b]. *Ἄλλως. Λύκος, Ἀρνίον καὶ Λέων.* (F. 362. C. p. 379.)

Λύκος δήποτε ἄρας ἀρνίον ἐκ ποίμνης ἀπεκόμιζεν εἰς τὴν ἰδίαν κοίτην· λέων δὲ τούτῳ ἐξαίφνης συναντήσας, ἦρεν ἐξ αὐτοῦ τὸ ἀρνίον. Στὰς δὲ πόῤῥωθεν πρὸς αὐτὸν ταῦτα λέγει· „ἵνα τί, ἄναξ, ἐξ ἐμοῦ τοῦτο ἦρας; πῶς δὲ οὐ τηρεῖς τοὺς θεσμοὺς τοὺς ἀρχαίους, τοῦ μὴ τυραννεῖν χειρὶ δυνατωτάτῃ, ἀλλὰ πάντοτε ἐκδικεῖν τοῖς ἀπόροις;" Ὁ δὲ γελάσας πρὸς αὐτὸν ταῦτα λέγει· „σὺ δὲ, ὦ λύκε, δικαίως τοῦτ' ἂν ἔσχες, εἴ τις τῶν φίλων αὐτὸ κεχάρικέ σοι."

Πρὸς πλεονέκτας καὶ ἅρπαγας τοὺς μεμφομένους ἀλλήλοις ὁ μῦθος.

280. *Λύκος καὶ Λέων.* (F. 359. C. 409.)

Λύκος πλανώμενός ποτ' ἐν ἐρήμοις τόποις,
κλίνοντος ἤδη πρὸς δύσιν Ὑπερίονος,
δολιχὴν ἑαυτοῦ τὴν σκιὰν ἰδὼν ἔφη·

„λέοντ' ἐγὼ δέδοικα, τηλικοῦτος ὤν,
πλέθρου τ' ἔχων τὸ μῆκος; οὐ θηρῶν ἁπλῶς
πάντων δυνάστης ἀθρόων γενήσομαι;"
λύκον δὲ γαυρωθέντα καρτερὸς λέων
ἑλὼν κατήσθι'· ὁ δ' ἐβόησε μετανοῶν·
„οἴησις ἡμῖν πημάτων παραιτία."

281. *Λύκος καὶ Ὄνος.* (F. 111. C. 235 et p. 380.)

Λύκος, τῶν λοιπῶν λύκων στρατηγήσας, πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας, ἵν', ὅ,τι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ, εἰς μέσον ἀγάγῃ, καὶ μοιράσῃ τοῖς πᾶσι. Ταῦτ' οὖν ὄνος ἀκηκοὼς, τὴν χαίτην ἔσεισε καὶ γελῶν ἔφη τάδε· „καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων· ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν, κοίτῃ παρέθου τῇ ἰδίᾳ λαθραίως εἰς τροφήν σοι; κόμισον ταύτην μερισθῆναι τοῖς πᾶσιν." Ὁ δὲ θαμβηθεὶς κατέλυσε τοὺς νόμους.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοὺς νόμους ὁρίζειν δοκοῦντες, ἐν οἷς ἂν ὁρίζωσι καὶ δικάζωσιν, οὐκ ἐμμένουσιν.

282. *Λύκος καὶ Ποιμένες.*
(C. 318. F. 389. ex Plut. VII Sap. conv. c. 13.)

Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν „ἡλίκος" ἔφη „ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν;"

283. *Λύκος καὶ Ποιμήν.* (F. 105. C. 236 et p. 381.)

Λύκος, ἀκολουθῶν ποίμνῃ προβάτων, οὐδὲν ἠδίκει. Ὁ δὲ ποιμὴν κατ' ἀρχὰς μὲν ἐφυλάττετο αὐτὸν ὡς πολέμιον, καὶ δεδοικὼς παρετηρεῖτο. Ἐπεὶ δὲ συνεχῶς ἐκεῖνος παρεπόμενος οὐδ' ἀρχὴν ἁρπάζειν ἐπεχείρει, τὸ τηνικαῦτα ἐννοήσας φύλακα μᾶλλον αὐτὸν εἶναι ἢ ἐπίβουλον, ἐπειδὴ χρεία τις αὐτὸν κατέλαβεν εἰς ἄστυ

παραγενέσθαι, καταλιπὼν παρ' αὐτῷ τὰ πρόβατα ἀπηλλάγη. Καὶ ὃς καιρὸν ἔχειν ὑπολαβὼν τὰ πλείω διέφθειρεν. Ὁ δὲ ποιμὴν ἐπανελθὼν καὶ θεασάμενος τὴν ποίμνην διεφθαρμένην, ἔφη· „ἀλλ' ἐγὼ δίκαια πέπονθα· τί γὰρ λύκῳ πρόβατα ἐπίστευον;"

Οὕτως καὶ τῶν ἀνθρώπων οἱ τοῖς φιλαργύροις καὶ πλεονέκταις τὰς παρακαταθήκας ἐγχειρίζοντες εἰκότως ἀποστεροῦνται.

284. *Λύκος καὶ Πρόβατον.* (C. 106. F. 257. S. 157.)

Λύκος, ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων, ἐβέβλητο. Τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραῤῥέοντος αὐτῷ ποταμοῦ κομίσαι. „Εἰ γὰρ σύ μοι" φησὶ „δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω." Τὸ δὲ ὑποτυχὸν ἔφη· „ἀλλ' ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ."

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον, δι' ὑποκρίσεως ἐνεδρεύοντα.

285. *Λύχνος.* (C. 239. F. 305. B. 114.)

Μεθύων λύχνος [ἐν] ἐλαίῳ καὶ φέγγων, ἐκαυχᾶτο, ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. Ἀνέμου δὲ πνοῆς συρισάσης, εὐθὺς ἐσβέσθη. Ἐκ δευτέρου δὲ ἅπτων τις εἶπεν αὐτῷ· „φαῖνε λύχνε καὶ σίγα· τῶν ἀστέρων τὸ φέγγος οὔποτε ἐκλείπει."

Ὅτι οὐ δεῖ τινα ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ τοῦ βίου τυφοῦσθαι· ὅσα γὰρ ἂν κτήσηται, ξένα τυγχάνει.

286. *Μάντις.* (C. 40. F. 113.)

Μάντις, ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας καὶ

δρομαῖος ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος „ὦ οὗτος,“ εἶπεν „ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου;“

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

287. *Μέλισσαι καὶ Ζεύς.* (S. 161. C. 240.)

Μέλισσαι φθονήσασαι ἀνθρώποις τοῦ ἰδίου μέλιτος ἧκον πρὸς τὸν Δία, καὶ ἐδέοντο, ὅπως ἰσχὺν παράσχηται αὐταῖς, τοῖς κέντροις τοὺς προσιόντας τοῖς κηρίοις ἀναιρεῖν. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν διὰ τὴν βασκανίαν παρεσκεύασεν αὐτὰς, ἡνίκα ἄν τινα τύπτωσι, τὸ κέντρον ἀποβάλλειν, μετὰ δὲ τοῦτο καὶ σωτηρίας στερίσκεσθαι.

Ὁ λόγος ἂν ἁρμόσειε πρὸς ἄνδρας βασκάνους, οἳ καὶ αὐτοὶ βλάπτεσθαι ὑπομένουσι.

287^{b}. *Ἄλλως. Μέλισσα καὶ Ζεύς.* (F. 114. C. p. 381.)

Μέλισσα, πάλαι μήτηρ κηρίων οὖσα, ἀνελήλυθεν εἰς θεοὺς θυμιᾶσαι, προσαγαγοῦσα ἐκ μέλιτος τὸ δῶρον. Τερφθεὶς δὲ ὁ Ζεὺς τῇ προσφορᾷ τῆς μελίσσης, συνετάξατο αὐτῇ δοῦναι, ὃ ἂν αἰτήσῃ. Ἡ δὲ πρὸς αὐτὸν ἐδέετο βοῶσα· „ὦ θεὲ λαμπρὲ καὶ κτιστὰ ἐμοῦ τῆς μελίσσης, ἐπίδος κέντρον τῇ σῇ θεραπαινίδι, ἵνα, ἐάν τις τῷ οἴκῳ μου πλησιάσῃ τοῦ ἆραι μέλι, αὐτὸν ἐγὼ φονεύω.“ Ἀπειρηκὼς δὲ ὁ Ζεὺς πρὸς τὰς αἰτήσεις, ἐπεὶ ἐφίλει τὸ τῶν ἀνθρώπων γένος πάνυ, ἔφησε τῇ μελίσσῃ τοιάδε· „οὐχ ὡς ᾔτησας, οὕτως γενήσεταί σοι, ἀλλ' ἐάν τις ἥκῃ λαβεῖν ἀπὸ σοῦ μέλι, σὺ δὲ προσκρούσῃς αὐτῷ καὶ πλήξῃς, αὐτὴ μᾶλλον τεθνήξῃ, ἐκβληθέντος σου τοῦ κέντρου· ζωὴ γὰρ ἐν σοὶ ὑπάρχει τὸ κέντρον.“

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς εὐχαῖς καὶ ταῖς δεήσεσιν οὐ δεῖ κατὰ τῶν ἐχθρῶν τι ἐξαιτεῖσθαι κακόν· ὃ γὰρ ἂν κακὸν κατ' αὐτῶν ἐξαιτήσῃς, ἀνθυποστρέψει ἐπὶ σὲ παραυτίκα.

287[c]. Ἄλλως. (C. 240. B. 136. ed. L.)

Ὑμηττία μέλισσα, κηρίων μήτηρ, ἀνῆλθεν εἰς θεῶν οἴκους, φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθέν. Ὁ Ζεὺς δὲ τῷ δώρῳ ἐτέρφθη, καὶ ὑπέσχετο δοῦναι γέρας ὃ ἂν αἰτήσηται. Ἡ δ' εἶπε· „δός μοι κέντρον, ἵνα, εἴ τις ἀνθρώπων τὸ ἐμὸν ἔργον πλησιάσοι ἆραι, ἀναιρῶ τοῦτον.“ Ἀπηρέσθη δὲ ὁ Ζεὺς τῇ αἰτήσει· ἠγάπα γὰρ τοὺς ἀνθρώπους· ὅμως καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν. Τοιοῦτον δ' ἔδωκεν, ὡς αὐτὴν ἀποθνήσκειν ἅμα τῷ πλῆξαι· ζωὴ γὰρ αὐτῆς ἐστι πετομένης τὸ κέντρον.

288. Μέλισσαι καὶ Ποιμήν. (C. 302. F. 214.)

Ἐν κοίλῃ δρυῒ μέλι κατειργάζοντο μέλισσαι. Ποιμὴν δέ τις αὐταῖς ἐργαζομέναις περιτυχών, ἀφελέσθαι προῃρεῖτο τοῦ μέλιτος· αἱ δὲ ἄλλοθεν ἄλλαι περιιπτάμεναι αὐτὸν ὤθουν τοῖς κέντροις. Καὶ τελευταῖον ὁ ποιμὴν „ἄπειμι“ ἔφη „μηδὲν δεόμενος μέλιτος, εἰ δεῖ μελίσσαις περιτυχεῖν.“

Τὰ κακὰ κέρδη τοῖς διώκουσι κίνδυνος.

289. Μελιττουργός. (C. 85. F. 239. S. 73.)

Εἰς μελιττουργεῖόν τις εἰσελθὼν τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. Ὁ δὲ ἐπανελθών, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ' αὐτὰς διερευνώμενος. Αἱ δὲ μέλισσαι ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτόν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριστα διετίθουν. Ὁ δὲ πρὸς αὐτάς· „κάκιστα ζῶα,

τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῶον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε;“

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς, δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

290. *Μηναγύρται.* (C. 241. F. 306. S. 162. B. 126.)

Μηναγύρται, ὄνον ἔχοντες, τούτῳ εἰώθεσαν τὰ σκεύη ἐπιτιθέντες ὁδοιπορεῖν. Καὶ δή ποτε ἀποθανόντος αὐτοῦ ἀπὸ κόπου, ἐκδείραντες αὐτὸν, ἐκ τοῦ δέρματος τύμπανα κατεσκεύασαν, καὶ τούτοις ἐχρῶντο. Ἑτέρων δὲ αὐτοῖς μηναγυρτῶν ἀπαντησάντων καὶ πυνθανομένων αὐτῶν, ποῦ ἂν εἴη ὁ ὄνος, ἔφασαν, τεθνηκέναι μὲν αὐτὸν, πληγὰς δὲ τοσαύτας λαμβάνειν, ὅσας οὐδὲ ζῶν ὑπέμεινεν.

Οὕτω καὶ τῶν οἰκετῶν ἔνιοι, εἰ καὶ τῆς δουλείας ἀφεθῶσιν, τῶν δουλικῶν οὐκ ἀπαλλάττονται.

291. *Μύες καὶ Γαλαῖ.* (S. 163. F. 115. C. 242 et p. 382.)

Μυσὶ καὶ γαλαῖς πόλεμος ἦν. Ἀεὶ δὲ οἱ μύες ἡττώμενοι, ἐπειδὴ συνῆλθον εἰς ταὐτὸν, ὑπέλαβον, ὅτι δι' ἀναρχίαν τοῦτο πάσχουσιν· ὅθεν ἐπιλεξάμενοί τινας ἑαυτῶν στρατηγοὺς ἐχειροτόνησαν· οἱ δὲ βουλόμενοι ἐπισημότεροι τῶν ἄλλων εἶναι, κέρατα κατασκευάσαντες ἑαυτοῖς συνῆψαν. Ἐνστάσης δὲ τῆς μάχης, συνέβη πάντας τοὺς μύας ἡττηθῆναι. Οἱ μὲν οὖν ἄλλοι πάντες ῥᾳδίως εἰσέδυνον· οἱ δὲ στρατηγοὶ, μὴ δυνάμενοι εἰσελθεῖν διὰ τὰ κέρατα αὐτῶν, συλλαμβανόμενοι κατησθίοντο.

Οὕτω πολλοῖς ἡ κενοδοξία κακῶν αἰτία [διὰ φιληδονίαν] γίνεται.

291[b]. *Ἄλλως.* (F. 175. C. p. 383. B. 31.)

Ποτὲ γαλέαι ἐμάχοντο τοῖς μυσὶν, αὐτοὺς κατατροποῦσαι καὶ ἀναιροῦσαι. Εἶπον δὲ οἱ μύες καθ' ἑαυτοὺς τοιαῦτα· „οὐ παραλόγως γαλέαι ἡμᾶς ἡττῶσιν· οὐ γὰρ κτώμεθα ἄνακτα, ὥσπερ αὗται, οὐδὲ στρατηγοὺς ἐπὶ τῇ παρατάξει, καὶ διὰ τοῦτο ταλαιπωροῦμεν πάντες, καὶ φυγάδες γινόμεθα τοῦ πολέμου.“ Καὶ παραυτίκα συμβούλιον λαβόντες, κατεστήσαντο τοὺς παμμεγέθεις μύας ἀρχηγέτας τε καὶ στρατηγοὺς τῶν ἄλλων. Καὶ δὴ ἔνοπλοι ἅπαντες γεγονότες, καὶ παρατάξεις αὖθις πεποιηκότες, ἤρξαντο κρότων τῶν τοῦ πολέμου. Τῶν γὰρ αὐτῶν σαλπίγγων σαλπισασῶν ἐναπήρξαντο πολεμεῖν πρὸς τὰς γαλέας· αἳ κατὰ κράτος τοὺς μύας ἡττήσασαι, ἔτρεψαν τοὺς δυστήνους εἰς φυγήν. Οἱ μὲν οὖν ἄοπλοι πεφευγότες ἐν τοῖς τοίχοις εἰσεληλύθεσαν εἰς ῥαγάδας αὐτίκα· οἱ δ' ἔνοπλοι καὶ ἀρχηγέται τούτων, οἵ τε ἄρχοντες καὶ στρατηγοὶ τῶν ἄλλων, μὴ δυνάμενοι ἐν ταῖς ὀπαῖς ἐμβῆναι, διεφθάρησαν ἅπαντες ὑπὸ τῶν γαλεῶν.

Ὁ μῦθος δηλοῖ, ὅτι πρὸς τὸ ζῆν ἀκινδύνως κρείττων ἐστὶν ἡ εὐτέλεια, ἢ ἡ λαμπρότης καὶ δόξα τοῦ βίου.

292. *Μυῖα.* (F. 117. C. 243. B. 60.)

Μυῖα ἐμπεσοῦσα εἰς χύτραν κρέατος, ἐπειδὴ ὑπὸ τοῦ ζωμοῦ ἀποπνίγεσθαι ἤμελλεν, ἔφη πρὸς ἑαυτήν· „ἀλλ' ἔγωγε καὶ βέβρωκα καὶ πέπωκα καὶ λέλουμαι, καὶ θνησκούσῃ οὐ μέλει μοι.“

Ὁ λόγος δηλοῖ, ὅτι ῥᾳδίως φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίστως παρακολουθῶσι.

293. *Μυῖαι.* (S. 81. F. 68. C. 89 et p. 318.)

Ἔν τινι ταμιείῳ μέλιτος ἐκχυθέντος μυῖαι προσ-

πτᾶσαι κατήσθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίσταντο. Ἐμπαγέντων δ' αὐτῶν τῶν ποδῶν, ὡς οὐκ ἠδύναντο ἀναπτῆναι, ἀποπνιγόμεναι ἔφασαν· „ἄθλιαι ἡμεῖς, αἳ διὰ βραχεῖαν ἡδονὴν ἀπολλύμεθα."

Οὕτω πολλάκις ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

294. Μύρμηξ. (S. 164. C. 108 et p. 319. F. 116.)

Μύρμηξ ὁ νῦν τὸ παλαιὸν ἄνθρωπος ἦν· καὶ τῇ γεωργίᾳ προσέχων τοῖς ἰδίοις πόνοις οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἐποφθαλμιῶν διετέλει, τοὺς τῶν γειτόνων καρποὺς ὑφαιρούμενος. Ὁ δὲ Ζεὺς ἀγανακτήσας κατὰ τῆς πλεονεξίας αὐτοῦ μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ καλεῖται μύρμηξ. Ὁ δὲ καὶ τὴν μορφὴν ἀλλάξας τὴν διάθεσιν οὐ μετέβαλε· μέχρι γὰρ νῦν κατὰ τὰς ἀρούρας περιιὼν τοὺς πόνους τῶν ἄλλων συλλέγει καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φύσει πονηροί, κἂν τὰ μάλιστα κολάζωνται, τὸν τρόπον οὐκ ἀποτίθενται.

295. Μύρμηξ καὶ Κάνθαρος.
(S. 111. F. 84. C. 244 et p. 384.)

Θέρους ὥρᾳ μύρμηξ περιπατῶν κατὰ τὴν ἄρουραν πυροὺς καὶ κριθὰς συνέλεγεν, ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος ἐθαύμασεν ὡς ἐπιπονώτατον, εἴγε παρ' αὐτὸν τὸν καιρὸν μοχθεῖ, παρ' ὃν τὰ ἄλλα ζῶα πόνων ἀφειμένα ῥᾳστώνην ἄγει. Ὁ δὲ τότε μὲν ἡσύχαζεν· ὕστερον δέ, ὅτε χειμὼν ἐνέστη, τῆς κόπρου ὑπὸ τοῦ ὄμβρου κλυσθείσης, ὁ κάνθαρος ἧκε πρὸς αὐτὸν λιμώττων καὶ τροφῆς μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτόν· „ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε ἐμόχθουν καί με ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου."

Οὕτως οἱ παρὰ τὰς εὐθηνίας τοῦ μέλλοντος μὴ προνοούμενοι παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσι.

296. *Μύρμηξ καὶ Περιστερά.* (C. 41. S. 165.)

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος, ἀπεπνίγετο. Περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔῤῥιψεν, ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔῤῥιψε, καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

296b. *Ἄλλως.* (F. 118. C. p. 300.)

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν καὶ βουλόμενος πιεῖν, ἀπεπνίγετο· περιστερὰ δὲ καθεζομένη ἐν τῷ παρεστηκότι δένδρῳ, ἐθεάσατο αὐτὸν, καὶ κόψασα φύλλον ἀπὸ τοῦ δένδρου ἔῤῥιψεν εἰς τὴν πηγὴν, δι' οὗ ἐπιβὰς ὁ μύρμηξ ἐσώθη. Ἰξευτὴς δέ τις παρασταθεὶς καὶ συνθεὶς τοὺς καλάμους, τὴν περιστερὰν συλλαβεῖν ἐβουλήθη. Ὁ δὲ μύρμηξ θεασάμενος, ἔδακε τὸν πόδα τοῦ ἰξευτοῦ. Ὁ δὲ ἀλγήσας, ῥίψας τοὺς καλάμους, ἐποίησε φυγεῖν τὴν περιστεράν.

Ὁ μῦθος δηλοῖ, ὅτι, εἰ καὶ τὰ ἄλογα ζῶα αἴσθησιν ἔχουσι τοῦ καλοῦ, πῶς οὐ δεῖ ἡμᾶς τοὺς εὐεργέτας ἀμείβεσθαι; [ἤ· Δύνανται καὶ τὰ μικρὰ τοῖς εὐεργέταις μεγάλας ἀμοιβὰς παρέχειν.]

297. **Μῦς ἀρουραῖος καὶ Μῦς ἀστικός.** (C. 301. F. 121.)

Μῦς ἀρουραῖος ἀστικῷ γίνεται φίλος μυῒ, καὶ τὴν

φιλίαν πιστούμενος πρῶτος εἰς ἀγρὸν τὸν ἀστικὸν παρελάμβανε, καὶ ξενίαν αὐτῷ παρετίθει καὶ τράπεζαν, ἃ φέρειν οἶδε τοῖς ἐνοικοῦσιν ἀγρός. Ἀμειβόμενος δὲ τὴν ξενίαν ὁ ἀστικὸς εἰς ἄστυ τὸν ἀρουραῖον ἐκόμιζε, καὶ εἰς ἀνδρὸς εὐπόρου παρελάμβανεν οἶκον. Ὡς δὲ τῶν ὄντων ἤδη προσάπτεσθαι ἤθελον, προσιών τις ἀνέκοπτε· καὶ τοσαυτάκις τῆς ἐν τοῖς ὄψοις ἀπηλαύνοντο πείρας, ὁσάκις ἐπειρῶντο μεταλαμβάνειν. Καὶ τελευταῖον ὁ ἀρουραῖος „ἄπειμι“ ἔφη, „τὴν ἐν ἀγροῖς προτιμῶν μετριότητα τῆς ἐν ἄστει τρυφῆς.“

Οὕτως οἱ μέτρια κτώμενοι τῶν πλουτούντων εἰσὶν αἱρετώτεροι.

297[b]. Ἄλλως. (C. p. 197. B. 108.)

Μύες δύο, ὁ μὲν ἀρουραῖος, ὁ δὲ οἰκόσιτος, κοινὸν εἶχον τὸν βίον. Ὁ δὲ οἰκόσιτος ἦλθε πρῶτος δειπνήσων ἐπὶ τῆς ἀρούρας ἔτι ἀνθούσης. Τρώγων δὲ σῖτον καὶ ῥίζας σὺν ταῖς βώλοις εἶπε· „Μύρμηκος ζῇς βίον, ταλαίπωρε. Ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· τὸ κέρας οἰκῶ τῆς Ἀμαλθείας ὡς πρὸς σέ. Ἐὰν ἔλθῃς μετ' ἐμοῦ, ὡς θέλεις, ἀσωτεύσῃ.“ Ἀπῆγε πείσας τὸν μῦν ἐν τῷ οἴκῳ. Ἔδειξε δὲ αὐτῷ σῖτον καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικας· οὗτος δὲ ἐτέρφθη καὶ διεχύθη· ὁ δὲ ἤγαγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. Ἤνοιξέ τις τὴν θύραν· οἱ δ' ἔφυγον εἰς στενὴν τρώγλην, ἔτριζον δὲ ὑπ' ἀλλήλων στενούμενοι. Ὡς δὲ πάλιν ἤμελλεν ἐκκύψαι καὶ μικρὰν ἰσχάδα σῦραι, ἕτερος ἦλθεν ἄλλο τι ἆραι· οἱ δ' ἔνδον ἐκρύπτοντο. Ὁ δὲ ἀρουραῖος μῦς „καίπερ τοσαῦτα δειπνῶν,“ εἶπε „χαῖρε καὶ πλούτει καὶ τρύφα, ἔχων τὰ πάντα μετὰ κινδύνων· ἐγὼ δὲ βοτάνας καὶ ῥίζας τρώγων ἀφόβως καὶ λιτῶς ζήσω.“

298. *Μῦς καὶ Βάτραχος.* (C. 245. F. 307.)

Χερσαῖος μῦς κακῇ μοίρᾳ βατράχῳ ἐφιλιώθη. Ὁ δὲ βάτραχος, κακῶς βουλευσάμενος, τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. Καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες· ἔπειτα τὸ χεῖλος τῆς λίμνης πλησιάσαντες, ὁ μὲν βάτραχος τὸν μῦν εἰς τὸν βυθὸν κατήνεγκεν, αὐτὸς βρυάζων τῷ ὕδατι, καὶ τὸ βρεκεκεκὲξ, κοὰξ, κοὰξ ἀνακράζων. Ὁ δὲ ἄθλιος μῦς τῷ ὕδατι φυσηθεὶς ἐτεθνήκει· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. Ἰκτῖνος δὲ τοῦτον ἰδὼν τοῖς ὄνυξιν ἥρπασε· βάτραχος δὲ δεσμώτης ἐπηκολούθει, δεῖπνον καὶ αὐτὸς ἰκτίνῳ γενησόμενος.

Ὅτι, κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν· ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα, καὶ τὸ ἴσον ἀποδιδοῦσα ζυγοστατεῖ.

299. *Μῦς καὶ Ταῦρος.* (B. 112.)

Μῦς ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήσας
τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης,
ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,
ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει, καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας·
„οὐχ ὁ μέγας αἰεὶ δυνατός· ἔσθ' ὅπου μᾶλλον
τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει.“

300. *Ναυαγός.* (C. 246. F. 308. S. 30.)

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, οἱ μὲν λοιποὶ πάντες διενήχοντο, ὁ δὲ Ἀθηναῖος παρ' ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυ-

ρία ἐπηγγέλλετο, ἐὰν περισωθῇ. Εἷς δέ τις τῶν συνεναυαγηκότων παρανηχόμενος ἔφη πρὸς αὐτόν· „σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει."

Τοὺς εἰς συμφορὰς ἐμπίπτοντας χρὴ καὶ αὐτοὺς ὑπὲρ ἑαυτῶν κοπιᾶν, καὶ εἶθ' οὕτως τοῦ θεοῦ περὶ βοηθείας δέεσθαι.

301. *Νεανίσκοι καὶ Μάγειρος.* (S. 66. F. 60. C. p. 293.)

Δύο νεανίσκοι ἐν ταὐτῷ κρέας ὠνοῦντο. Καὶ δὴ τοῦ μαγείρου περισπασθέντος, ὁ ἕτερος ὑφελόμενος τὸ κρέας εἰς τοῦ ἑτέρου τὸν κόλπον καθῆκεν αὐτό. Ἐπιστραφέντος δὲ τοῦ μαγείρου καὶ ἐπιζητοῦντος ἐκεῖνόν τε αἰτιωμένου, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων μὴ εἰληφέναι· καὶ ὁ μάγειρος αἰσθόμενος αὐτῶν τὴν κακοτεχνίαν, ἔφη· „ἀλλὰ κἂν ἐμὲ λάθητε ἐπιορκοῦντες, θεοὺς μέντοι οὐ λήσετε."

Ὁ λόγος δηλοῖ, ὅτι ἡ αὐτή ἐστιν ἡ ἀσέβεια τῆς ἐπιορκίας, κἂν αὐτήν τις κατασκευάζηται.

301ᵇ. *Ἄλλως.* (C. 26.)

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο. Καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων, μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. Ἐπιστραφέντος δὲ τοῦ μαγείρου καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δ' ἔχων μὴ εἰληφέναι. Ὁ δὲ μάγειρος, αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· „ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον θεὸν οὔκουν λήσετε."

302. *Νεανίσκος καὶ Ἵππος.*
(C. 332. F. 402. ex Luciani Cynico c. 18.)

Νεανίσκος τις ἐφ' ἵππον ἀνέβη μαινόμενον. Ἁρπάσας δὲ αὐτὸν ἔφερεν ὁ ἵππος· ὁ δ' οὐκ ἔτι καταβῆναι

τοῦ ἵππου θέοντος ἐδύνατο. Καί τις ἀπαντήσας ἠρώτησεν αὐτὸν „ποίαν ἄπεισιν;“ Ὁ δ' εἶπεν· „ὅποι ἂν τούτῳ δοκῇ,“ δεικνὺς τὸν ἵππον.

Οὕτω πολλοί, ἄν τις ἐρωτᾷ „ποῖ φέρεσθε;“ τἀληθῆ ἐθέλοντες λέγειν, ἐροῦσιν, ἁπλῶς μὲν „ὅποιπερ ἂν ταῖς ἐπιθυμίαις δοκῇ,“ κατὰ μέρος δὲ ὅποιπερ ἂν τῇ ἡδονῇ δοκῇ, ποτὲ δὲ ὅποι τῇ δόξῃ, ποτὲ δὲ αὖ τῇ φιλοκερδείᾳ· ποτὲ δὲ ὁ θυμός, ποτὲ δὲ ὁ φόβος, ποτὲ δὲ ἄλλο τι τοιοῦτον αὐτοὺς ἐκφέρει.

303. *Νεβρὸς' καὶ Ἔλαφος.* (F. 120. C. 56 et p. 309.)

Νεβρὸς δήποτε πρὸς τὴν ἔλαφον εἶπε· „σὺ τῷ μεγέθει μείζων κυνὸς τυγχάνεις καὶ ταχυτάτη καὶ ὀξεῖα πρὸς δρόμον, κέρατα δὲ πρὸς ἄμυναν κατέχεις· καὶ τί, ὦ μῆτερ, οὕτω φοβῇ τοὺς κύνας;“ Ἡ δὲ πρὸς αὐτὸν ἔφη γελῶσα οὕτως· „ὅτι μὲν ἐγὼ ταῦτα ἅπαντα ἔχω, εὖ οἶδα σαφῶς καὶ γινώσκω, ὦ τέκνον· ἐπὰν δὲ κυνὸς ὑλακῆς ἀκούσω, σκοτοῦμαι καὶ πρὸς φυγὴν τρέπομαι.“

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἀνθρώπους τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ἀνθρώπου ἐπιῤῥώννυσι.

304. *Νέος ἄσωτος καὶ Χελιδών.* (C. 248 et p. 385. F. 123)

Νέος ἄσωτος, καταφαγὼν τὰ πατρῷα, ἱματίου δὲ μόνου αὐτῷ περιλειφθέντος, ὡς ἐθεάσατο χελιδόνα παρὰ καιρὸν ὀφθεῖσαν, οἰόμενος ἤδη θέρος εἶναι, ὡς μηκέτι δεόμενος ἱματίου, καὶ τοῦτο ἐπώλησεν. Ὕστερον δέ, χειμῶνος ἐπιλαβομένου καὶ σφοδροῦ γενομένου τοῦ ἀέρος, ἐπειδὴ εἶδε τὴν χελιδόνα νεκρὰν κειμένην, ἔφη πρὸς αὐτήν· „ὦ αὕτη, σὺ κἀμὲ ἀπώλεσας.“

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν πραττόμενον ἐπικίνδυνόν ἐστιν.

305. *Νοσῶν καὶ Ἰατρός.* (C. 43 et p. 302. F. 126.)

Νοσῶν τις καὶ ὑπὸ τοῦ ἰατροῦ ἐρωτώμενος, ὅπως διετέθη, πλέον εἶπε τοῦ δέοντος ἱδρωκέναι· ὁ δὲ ἀγαθὸν ἔφη τοῦτ' εἶναι. Ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς, ὅπως ἔσχε, φρίκῃ συσχεθεὶς εἶπε σφοδρῶς διατετινάχθαι· ὁ δὲ καὶ τοῦτ' ἀγαθὸν ἔφησεν εἶναι. Ἐκ δὲ τρίτου αὖθις ἐρωτηθεὶς, ὅπως διεγένετο, εἶπεν ὑδέρῳ περιπεπτωκέναι· ὁ δὲ καὶ τοῦτο πάλιν ἀγαθὸν εἶπεν εἶναι. Εἶτα τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος, ὅπως ἔχει· „ἐγὼ“ εἶπεν, „ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.“

Ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

306. *Νυκτερὶς καὶ Βάτος καὶ Αἴθυια.* (S. 167.)

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια πρὸς ἀλλήλους κοινωνίαν σπεισάμενοι ἐμπορεύεσθαι διέγνωσαν. Καὶ ἡ μὲν νυκτερὶς ἀργύριον δανεισαμένη εἰς μέσον κατέθηκεν, ἡ δὲ βάτος ἐσθῆτα ἐνεβάλετο, ἡ δὲ αἴθυια τὸ πλοῖον. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. Καὶ ἡ μὲν αἴθυια ἀπ' ἐκείνου τὸ πλοῖον ζητοῦσα ἐπὶ (κατὰ?) τοῦ βυθοῦ δύνει, οἰομένη ποτὲ εὑρήσειν· ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη ἡμέρας μὲν οὐ φαίνεται, νυκτὸς δὲ ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τὰς ἐσθῆτας ἐπιζητοῦσα τῶν παριόντων ἐπιλαμβάνεται (τῶν) ἱματίων, προσδοκῶσα τὰ ἴδια ἐπιγνώσεσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι περὶ ταῦτα μᾶλλον σπουδάζομεν, περὶ ἃ πρότερον πταίσωμεν.

306[b]. *Ἄλλως.* (C. 42 et p. 300. F. 124.)

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια, ἑταιρείαν ποιησά–

μενοι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. Ἡ μὲν οὖν νυκτερὶς ἀργύριον δανεισαμένη καθῆκεν εἰς τὸ μέσον, ἡ δὲ βάτος ἐσθῆτα μεθ' ἑαυτῆς ἔλαβεν, ἡ δὲ αἴθυια τρίτη χαλκόν· καὶ ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. Ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μή που τὸν χαλκὸν ἐκβάλλει ἡ θάλαττα· ἡ δὲ νυκτερὶς, τοὺς δανειστὰς φοβουμένη, τῆς μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δ' ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τῆς τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴ που τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ὁ μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ἐς ὕστερον περιπίπτομεν.

307. *Νυκτερὶς καὶ Γαλῆ.* (C. 109 et p. 320. F. 125.)

Νυκτερὶς, ἐπὶ γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη· καὶ μέλλουσα ἀναιρεῖσθαι περὶ σωτηρίας ἐδεῖτο. Τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν οὐκ ὄρνις, ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφείθη. Ὕστερον δὲ πάλιν πεσοῦσα, καὶ ὑφ' ἑτέρας συλληφθεῖσα γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. Τῆς δὲ εἰπούσης ἅπασιν ἐχθραίνειν μυσὶν, αὐτὴ μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι, καὶ πάλιν ἀπελύθη. Καὶ οὕτω συνέβη, δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν, λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

308. *Ξυλευόμενος καὶ Ἑρμῆς.* (C. 44. S. 168. F. 127.)

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην

καθίσας ὠδύρετο. Ἑρμῆς δὲ, μαθὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς, ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πρὸς τοὺς ἑταίρους τὰ συμβάντα αὐτοῖς διεξελήλυθεν· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε, καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ „ναὶ ἀληθῶς ἥδ᾽ ἐστὶ“ φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ᾽ οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι, ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

308ᵇ. *Ἄλλως.* (C. 44.)

Γεωργόν φασι παρὰ ποταμὸν βαδίζοντα ἀποβαλεῖν ἀξίνην· κατοικτείραντα δὲ τὸν ποταμὸν ἀνεῖναι αὐτῷ ἀργυρᾶν. Τοῦ δὲ φήσαντος, οὐκ εἶναι ταύτην αὐτοῦ, ἀνεῖναι αὖθις χρυσῆν. Ἀρνησαμένου δὲ καὶ ταύτην, τὸν ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναδοῦναι, καὶ τὰς ἄλλας δωρήσασθαι, ἀγασθέντα αὐτὸν τῆς δικαιοσύνης. Ἕτερον δὲ γεωργὸν, βουλόμενον τῶν αὐτῶν τυχεῖν, ἑκόντα καταβαλεῖν τὴν ἀξίνην ἐν τῷ αὐτῷ ποταμῷ. Τὸν δὲ ποταμὸν οὐδὲ τὴν ἰδίαν αὐτῷ ἀναπέμψαι. Τὸν δὲ πρό-

τερον γεωργὸν παρατυχόντα εἰπεῖν πρὸς αὐτόν· „οὐκ ἀεὶ ποταμὸς ἀξίνας φέρει.“

309. Ὁδοιπόροι. (C. 83. F. 237. S. 67.)

Δύο τινὲς κατὰ ταὐτὸν ὡδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτῷ μὴ λέγειν „εὕρηκα,“ ἀλλ' „εὑρήκαμεν.“ Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν· „ἀπολώλαμεν.“ Ὁ δ' εἶπεν· „ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

310. Ὁδοιπόροι. (C. 110. F. 258. S. 172.)

Ὁδοιπόροι, κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιάν. Κἀκεῖθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην ᾠήθησαν· διὸ δὴ προσέμενον, ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. Ἐξενεχθέντα δὲ αὐτὰ φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν· „ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα.“

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι, ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

311. Ὁδοιπόροι καὶ Ἄρκτος. (C. 249. F. 57. S. 65.)

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος, μέλλων

περικατάληπτος γίνεσθαι, πεσὼν ἐπὶ τοῦ ἐδάφους ἑαυτὸν νεκρὸν προσεποιεῖτο. Τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον. Ἀπαλλαγείσης δὲ, ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου, τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἰρήκει. Ὁ δὲ εἶπε, τοῦ λοιποῦ τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσιν.

312. *Ὁδοιπόροι καὶ Κόραξ.* (C. 250. F. 310.)

Πορευομένοις τισὶν ἐπὶ πρᾶξίν τινα κόραξ ὑπήντησεν τῶν ὀφθαλμῶν τὸν ἕτερον πεπηρωμένος. Ἐπιστραφέντων δὲ αὐτῶν, καί τινος ὑποστρέψαι παραινοῦντος, τοῦτο (γὰρ) σημαίνειν τὸν οἰωνὸν, ἕτερος ὑποτυχὼν εἶπεν· „καὶ πῶς οὗτος ἡμῖν δύναται τὰ μέλλοντα μαντεύεσθαι, ὃς οὐδὲ τὴν ἰδίαν πήρωσιν προείδετο, ἵνα φυλάξηται;“

Οὕτω καὶ οἱ ἐν τοῖς οἰκείοις πράγμασι τὸ ἄβουλον κεκτημένοι καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοι.

313. *Ὁδοιπόροι καὶ Πλάτανος.* (S. 170. C. 251 et p. 387. F. 129.)

Ὁδοιπόροι δύο θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους, ὡς ἀνωφελὲς καὶ ἄκαρπον τοῦτο ἀνθρώποις ἐστὶ τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα ἔφη· „ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε;“

Οὕτω καὶ τῶν ἀνθρώπων τινὲς οὕτω ἀτυχεῖς εἰσιν,

ὡς καὶ εὐεργετοῦντες τοὺς πέλας ἐπὶ τῇ χρηστότητι ἀπιστεῖσθαι.

314. Ὁδοιπόρος καὶ Ἀλήθεια.
(C. 365 et p. 411. F. 364. B. 127.)

Ὁδοιπορῶν τις ἐν ἐρήμῳ εὗρε γυναῖκα μόνην κατηφῆ ἑστῶσαν, καί φησιν αὐτῇ· „τίς εἶ;“ Ἡ δ' ἔφη „Ἀλήθεια.“ „Καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν οἰκεῖς;“ Ἡ δ' εἶπεν· „ὅτι τοῖς πάλαι καιροῖς παρ' ὀλίγοις ἦν τὸ ψεῦδος, νῦν δὲ εἰς πάντας ἀνθρώπους ἐστὶν, ἐάν τι ἀκούειν καὶ λέγειν θέλῃς.“

315. Ὁδοιπόρος καὶ Ἑρμῆς. (S. 173. C. 47 et p. 305. F. 156.)

Ὁδοιπόρος, πολλὴν ὁδὸν ἀνύων, ηὔξατο, ὧν ἂν εὕρῃ, τούτου τὸ ἥμισυ τῷ Ἑρμῇ ἀναθεῖναι. Περιτυχὼν δὲ πήρᾳ, ἐν ᾗ ἀμύγδαλά τε ἦσαν καὶ φοίνικες, ταύτην ἀνείλετο, οἰόμενος ἀργύριον εἶναι. Ἐκτινάξας δὲ ὡς εὗρε τὰ ἐνόντα, καταφαγὼν ταῦτα, καὶ λαβὼν τῶν τε ἀμυγδάλων τὰ κελύφη καὶ τῶν φοινίκων τὰ ὀστᾶ, ταῦτα ἐπί τινος βωμοῦ ἔθηκεν, εἰπών· „ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· καὶ γὰρ τὰ ἐκτὸς ὧν εὗρον, καὶ τὰ ἐντὸς πρὸς σὲ διανενέμηκα.“

Πρὸς ἄνδρα φιλάργυρον, διὰ πλεονεξίαν καὶ θεοὺς κατασοφιζόμενον, ὁ λόγος εὔκαιρος.

316. Ὁδοιπόρος καὶ Τύχη. (S. 169. C. 252. B. 49.)

Ὁδοιπόρος, πολλὴν ὁδὸν ἀνύσας, ἐπειδὴ κόπῳ συνείχετο, πεσὼν παρά τι φρέαρ ἐκοιμᾶτο. Μέλλοντος δὲ αὐτοῦ ὅσον οὔπω καταπίπτειν, ἡ Τύχη ἐπιστᾶσα καὶ διεγείρασα αὐτὸν εἶπεν· „ὦ οὗτος, εἴγε ἐπεπτώκεις, οὐκ ἂν τὴν σεαυτοῦ ἀβουλίαν, ἀλλ' ἐμὲ ᾐτιῶ.“

316[b]. Ἄλλως. Παῖς καὶ Τύχη. (F. 62. C. 388.)

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. Ἐπιστᾶσα δὲ

αὐτῷ ἡ Τύχη ἐβόα· „ἀνάστα καὶ ἄπελθε ἐντεῦθεν, μή πως κάτω τοῦ φρέατος πέσῃς, καὶ ἐμὲ τὴν Τύχην καταμέμψωνται πάντες.“

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις σφαλλόμενοι [πράττοντες κακῶς] περιπίπτομεν κινδύνοις καὶ μεμφόμεθα τὴν τύχην.

317. Οἶς καὶ Κύων.

(C. 315. ex Xenoph. Comment. II, 7, 13. F. 366. C. p. 405. B. 130.)

Φασίν, ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· „θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ,τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου.“ Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· „ναὶ μὰ Δί'· ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε.“ Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι.

318. Ὄναγρος καὶ Ὄνος. (C. 379. F. 340.)

Ὄναγρος ὄνον ἰδὼν βαρὺν γόμον ἐπαγόμενον, [καὶ] τὴν δουλείαν αὐτῷ ἐπονειδίζων ἔλεγεν· „εὐτυχὴς ὄντως ἐγώ, ὅτι ζῶν ἐλευθέρως καὶ διάγων ἀκόπως, αὐτοσχέδιον καὶ τὴν νομὴν ἐν τοῖς ὄρεσι κέκτημαι· σὺ δὲ δι' ἄλλου τρέφῃ, καὶ δουλείαις καὶ πληγαῖς καθυποβάλλῃ διηνεκῶς.“ Συνέβη δ' οὖν αὐθωρὸν λέοντά τινα φανῆναι, καὶ τῷ μὲν ὄνῳ μὴ προσπελάσαι, ὡς συνόντος αὐτῷ τοῦ ὀνηλάτου, τῷ δὲ ὀνάγρῳ, μεμονωμένῳ τυγχάνοντι, σφοδρῶς ἐπελθεῖν καὶ αὐτῷ θέσθαι κατάβρωμα.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ ἀνυπότακτοι καὶ σκληροτράχηλοι, τῇ αὐτοβουλίᾳ φερόμενοι καὶ βοηθείας τινὸς μὴ δεόμενοι, αὔθωρον πτῶμα γίνονται.

319. Ὄνοι πρὸς τὸν Δία. (S. 181. C. 112 et p. 321. F. 138.)

Ὄνοι ποτὲ ἀχθόμενοι ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τινὰ αἰτούμενοι τῶν πόνων. Ὁ δ' αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποταμὸν ποιήσωσι. Κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι νῦν, ἔνθα ἂν ἀλλήλων οὖρον ἴδωσιν, ἐνταῦθα καὶ αὐτοὶ παριστάμενοι οὐροῦσιν.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ ἑκάστῳ πεπρωμένον ἀθεράπευτόν ἐστι.

320. Ὄνον ἀγοράζων. (C. 253. F. 311.)

Ὄνον τις ἀγοράζειν μέλλων, ἐπὶ δοκιμασίᾳ καὶ πείρᾳ αὐτὸν ἔλαβεν· καὶ εἰσαγαγὼν αὐτὸν ἐπὶ τῆς φάτνης μετὰ τῶν ἰδίων αὐτοῦ ὄνων τοῦτον ἔστησεν. Ὁ δὲ καταλιπὼν τοὺς ἄλλους ἐπὶ τῷ ἀργοτάτῳ καὶ ἀδδηφάγῳ ἔστη. [καὶ ὃς οὐδὲν ἐποίει.] Δήσας οὖν καὶ ἀπαγαγὼν, τῷ ἰδίῳ δεσπότῃ τοῦτον παρέδωκε. Τοῦ δὲ ἐρωτῶντος, εἰ οὕτω ταχεῖαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑποτυχὼν εἶπεν· „ἀλλ' ἔγωγε οὐδὲ ἐπιδέομαι πείρας· οἶδα γὰρ ὅτι τοιοῦτος, ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐπελέξατο."

Ὅτι τοιοῦτος ἕκαστος ὑπολαμβάνεται εἶναι, ὁποίοις ἑταίροις συναναστρέφεται.

321. Ὄνος ἄγριος. (S. 179. C. 111 et p. 320. F. 136.)

Ὄνος ἄγριος, ὄνον ἥμερον ἰδὼν ἔν τινι εὐηλίῳ

τόπῳ, προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· „ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ, ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.“

Οὕτω οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν προσγινόμενα κέρδη.

322. Ὄνος ἅλας βαστάζων. (S. 176. C. 254.)

Ὄνος ἅλας βαστάζων ποταμὸν διήρχετο· ὀλισθήσας δὲ ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἁλὸς, κουφότερος ἐξανέστη· εὐφρανθεὶς δὲ ἐπὶ τούτῳ, ἐπειδὴ ὕστερόν ποτε σπόγγους ἐμπεφορτισμένος ποταμὸν διέβαινεν, ᾠήθη [δεῖν] ὅτι, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται· καὶ δὴ ἑκὼν ὠλίσθησε. Συνέβη δ' αὐτῷ, τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ, μὴ δυναμένῳ ἐξανίστασθαι, ἐνταῦθα ἀποπνιγῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τὰς ἰδίας ἐπινοίας λανθάνουσι συμφορῶν αἰτίας ἔχοντες.

322ᵇ. Ἄλλως. Μικρέμπορος καὶ Ὀνάριον. (F. 122. C. p. 388. B. 111.)

Μικρέμπορός τις ὀνάριον κατέχων, αὐτὸς ὠνεῖτο ἁλάτιον εἰς πλῆθος. Καὶ δὴ φορτώσας σφοδρῶς αὐτοῦ τὸν ὄνον, ὑποζύγιον ἤλαυνε λεωφόρῳ· ὃς ὀλισθήσας εἰς ὕδωρ ἐπεπτώκει· καὶ δὴ λυθέντων τῶν ἁλῶν παραυτίκα, εὐθὺς ἠγέρθη ἀκόπως βηματίζων. Ὁ δ' ὑποστρέψας καὶ πάλιν λαβὼν ἅλας, κατεπεπτώκει εἰς ποτάμια ῥεῖθρα· καὶ ἐκλυθέντων πάλιν τῶν ἁλατίων, ἐξανέστησεν ἑαυτὸν παραυτίκα. Ὁ δὲ λυπηθεὶς, ὁ κύριος τοῦ ὄνου, ἐπενόησεν αὐτοῦ τὰς ἐπινοίας. Ὅστις ἐπελθὼν [εἰς] ἕνα τῶν μυρεψούντων, ἐξωνήσατο σπόγ-

γους πολλοὺς εἰς κόρον, οὕσπερ ἐπιθεὶς πεφόρτωκε τὸν ὄνον. Ὁ δὲ ἀπιὼν κατέπεσεν εἰς ὕδωρ, καὶ παραυτίκα κλυσθέντων τῶν σπόγγων, ἤγετο ὁ ὄνος διπλοῦν βάρος βαστάζων.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις, ἐν ᾧ τις εὐτύχησεν, ἐν αὐτῷ καὶ πίπτει.

323. Ὄνος, Ἀλεκτρυὼν καὶ Λέων. (S. 83. C. 66 et p. 315. F. 70.)

Ἔν τινι ἐπαύλει ὄνος καὶ ἀλεκτρυὼν ἦσαν· λέων δὲ λιμώττων ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν εἰσελθὼν τοῦτον καταθοινήσασθαι. Περὶ δὲ τὸν ψόφον ἀλεκτρυόνος φθεγξαμένου καταπτήξας (φασὶ γάρ, τοὺς λέοντας πτύρεσθαι πρὸς τὰς τῶν ἀλεκτρυόνων φωνάς), εἰς φυγὴν ἐτράπη. Καὶ ὁ ὄνος ἀναπτερωθεὶς κατ' αὐτοῦ, εἴγε ἀλεκτρυόνα ἐφοβήθη, ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν· ὁ δὲ, ὡς μακρὰν ἐγένετο, κατέφαγεν αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ταπεινουμένους τοὺς ἑαυτῶν ἐχθροὺς ὁρῶντες, καὶ διὰ τοῦτο καταθρασυνόμενοι, λανθάνουσιν ὑπ' αὐτῶν ἀναλισκόμενοι.

323ᵇ. Ἄλλως. Ὄνος καὶ Λέων. (C. 66.)

Ὄνῳ ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. Λέοντος δ' ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε· καὶ ὁ μὲν λέων (φασὶ γὰρ τοῦτον τὴν τοῦ ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι) ἔφυγεν. Ὁ δ' ὄνος, νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. Ὡς δὲ πόῤῥω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἐφικνεῖτο φωνὴ, στραφεὶς ὁ λέων τοῦτον κατεθοινήσατο. Ὁ δὲ θνήσκων ἐβόα· „ἄθλιος ἐγὼ καὶ ἀνόητος· πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην;“

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

324. *Ὄνος βαστάζων ἄγαλμα.* (S. 178. F. 135. C. p. 389.)

Ὄνῳ τις ἐπιθεὶς ἄγαλμα ἦγεν εἰς ἄστυ. Τῶν δὲ συναντώντων προσκυνούντων τὸ ἄγαλμα, ὁ ὄνος ὑπολαβὼν, ὅτι αὐτὸν προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτό τε καὶ οὐκέτι περαιτέρω προϊέναι ἐβούλετο. Καὶ ὁ ὀνηλάτης αἰσθόμενος τὸ γεγονὸς, τῷ ῥοπάλῳ αὐτὸν παίων ἔφη· „ὦ κακὴ κεφαλὴ, ἔτι καὶ τοῦτο λοιπὸν ἦν, ὄνον ὑπ' ἀνθρώπων προσκυνεῖσθαι.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐπαλαζονευόμενοι παρὰ τοῖς εἰδόσιν αὐτοὺς γέλωτα ὀφλισκάνουσι.

324b. *Ἄλλως.* (C. 257.)

Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε· πολλοὶ δὲ προσεκύνουν τῶν συναντώντων. Ὁ δὲ ὄνος τυφωθεὶς, νομίζων αὐτὸν προσκυνεῖν τοὺς ἀγροίκους, σκιρτῶν ἤμελλε τὸν θεὸν ῥῖψαι. Ἀλλὰ τοῦτον ξύλῳ παίων ὁ δεσπότης εἶπεν· „ὄνος εἶ θεὸν φέρων, ἀλλ' οὐ θεοῖς ὑπάρχεις ὁμότιμος.“

Κτηνώδεις ἄνδρας, τετυφωμένους ἐπ' ἀλλοτρίοις, ὁ λόγος ἐλέγχει.

325. *Ὄνος καὶ Ἀλώπηξ.* (C. 256.)

Ὄνος ἀκανθώδεις παλιούρους ἤσθιε. Τοῦτον ἰδοῦσα ἡ ἀλώπηξ εἶπε· „πῶς οὕτω τῇ ἁπαλῇ γλώσσῃ τὸ σκληρὸν καὶ ἀκανθῶδες προσφάγιον ἐσθίεις;“

Ὅτι οὐ δεῖ φλυάρων ἀνδρῶν κατηγορίας ἀκούειν· εἰς κίνδυνον γὰρ ἄγουσι τὸν ἀκούοντα.

326. *Ὄνος καὶ Ἀλώπηξ καὶ Λέων.*
(S. 187. C. 116 et p. 323. F. 144.)

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον εἰς ἄγραν· λέοντος δ' αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον, προσελθοῦσα τῷ λέοντι ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. Τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, παραγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. Καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρῶτον τὴν ἀλώπεκα συνέσχεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Οὕτως οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς προσαπολλύντες.

327. *Ὄνος καὶ Βάτραχοι.* (S. 185. C. 114. F. 142.)

Ὄνος ξύλα βαστάζων διέβαινέ τινα λίμνην· ὀλισθήσας δὲ ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος ὠδύρετό τε καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι, ἀκούσαντες αὐτοῦ τῶν στεναγμῶν, ἔφασαν· „ὦ οὗτος, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;"

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείονας ῥᾳδίως ὑφιστάμενος.

328. *Ὄνος καὶ Ἵππος.* (C. 58 et p. 311. F. 151.)

Ὄνος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. Ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσή-

λασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο· ταῦτα πάντα ἑωρακὼς ὁ ὄνος, τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον καὶ τὸν κίνδυνον ἀναλογιζομένους, τὴν πενίαν ἀγαπᾶν.

329. *Ὄνος καὶ Κηπωρός.* (S. 175. C. 45 et p. 304. F. 132.)

Ὄνος κηπωρῷ δουλεύων, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διί, ὅπως τοῦ κηπωροῦ αὐτὸν ἀπαλλάξας, ἑτέρῳ δεσπότῃ ἐγχειρίσῃ. Ὁ δὲ Ἑρμῆν πέμψας ἐκέλευε κεραμεῖ αὐτὸν πωλῆσαι. Πάλιν δὲ αὐτοῦ δυσφοροῦντος, ἐπειδὴ καὶ πολλῷ πλεῖον ἀχθοφορεῖν ἠναγκάζετο, καὶ τὸν Δία ἐπικαλουμένου, τὸ τελευταῖον ὁ Ζεὺς παρεσκεύασεν αὐτὸν βυρσοδέψῃ πωληθῆναι. Καὶ ὁ ὄνος ἰδὼν τὰ ὑπὸ τοῦ δεσπότου πραττόμενα, ἔφη· „ἀλλ' ἔμοιγε αἱρετώτερον ἦν παρὰ τοῖς προτέροις δεσπόταις ἀχθοφοροῦντι λιμώττειν, ἢ ἐνταῦθα παραγενέσθαι, ὅπου οὐδὲ, ἂν ἀποθάνω, ταφῆς τεύξομαι.“

Ὁ λόγος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς πρώτους δεσπότας ποθοῦσιν οἱ οἰκέται, ὅταν ἑτέρων πεῖραν λάβωσι.

330. *Ὄνος, Κόραξ καὶ Λύκος.* (S. 186. C. 115 et p. 322. F. 143.)

Ὄνος ἡλκωμένος τὸν νῶτον ἔν τινι λειμῶνι ἐνέμετο· κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ καὶ τὸ ἕλκος κρούοντος, ὁ ὄνος ἀλγῶν ὠγκᾶτο καὶ ἐσκίρτα. Τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν στάντος καὶ γελῶντος, λύκος παριὼν ἐθεάσατο, καὶ πρὸς αὐτὸν ἔφη· „ἄθλιοι ἡμεῖς, οἳ, κἂν αὐτὸ μόνον ὀφθῶμεν, διωκόμεθα· τούτῳ δὲ καὶ προσγελῶσιν.“

Ὁ λόγος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ ἐξ ἀπροόπτου (ἀπόπτου?) δῆλοί εἰσιν.

331. *Ὄνος καὶ Κυνίδιον.*
(S. 92. C. 212 et p. 371. F. 293 et 367. B. 131.)

Ἔχων τις κύνα μελιταῖον καὶ ὄνον διετέλει ἀεὶ τῷ κυνὶ προσπαίζων· καὶ δὴ, εἴ ποτε ἔξω δειπνοίη, ἐκόμιζέ τι αὐτῷ, καὶ προσιόντι καὶ σαίνοντι παρέβαλλεν. Ὁ δὲ ὄνος φθονήσας προσέδραμε (τῷ δεσπότῃ) καὶ σκιρτῶν ἐλάκτισεν αὐτόν· καὶ ὁ δεσπότης ἀγανακτήσας ἐκέλευσε παίοντας αὐτὸν ἀγαγεῖν καὶ τῇ φάτνῃ προσδῆσαι.

Ὁ λόγος δηλοῖ, ὅτι οὐ πάντες πρὸς ταὐτὰ πεφύκασιν.

332. *Ὄνος καὶ Κύων.* (F. 370. C. 414.)

Ὄνος καὶ κύων ἐν ταὐτῷ ὡδοιπόρουν. Εὑρόντες δὲ ἐπὶ γῆς ἐσφραγισμένον γραμμάτιον, ὁ ὄνος λαβὼν καὶ ἀναῤῥήξας τὴν σφραγῖδα καὶ ἀναπτύξας, διεξῄει εἰς ἐπήκοον τοῦ κυνός. Περὶ βοσκημάτων δὲ ἐτύγχανε τὰ γράμματα, χόρτου τε, φημὶ, καὶ κριθῆς καὶ ἀχύρου. Ἀηδῶς οὖν ὁ κύων, τοῦ ὄνου ταῦτα διεξιόντος, διέκειτο· ἔνθεν δὴ καὶ ἔφησε τῷ ὄνῳ· „ὑπόβαθι, φίλτατε, μικρὸν, μή τι καὶ περὶ κρεῶν καὶ ὀστέων εὕρῃς διαλαμβάνον.“ Ὁ δὲ ὄνος ἅπαν τὸ γραμμάτιον διεξελθὼν, καὶ μηδὲν εὑρηκὼς ὧν ὁ κύων ἐζήτει, ἀντέφησεν αὖθις ὁ κύων· „βάλε κατὰ γῆς, ὡς ἀδόκιμον πάντη, φίλε, τυγχάνον.“

333. *Ὄνος καὶ Λεοντῆ.* (C. 258.)

Ὄνος, δορὰν λέοντος ἐπενδυθεὶς, λέων ἐνομίζετο πᾶσι· καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

Ὅτι πένης καὶ ἰδιώτης ὢν, μὴ μιμοῦ τὰ τῶν πλου-

σίων, μή ποτε καταγελασθῇς καὶ κινδυνεύσῃς· τὸ γὰρ ξένον ἀνοίκειον.

333^{b}. Ἄλλως. (C. p. 170. ex Luc. Piscat. c. 32.)

Ὄνος ἐν Κύμῃ, λεοντῆν περιβαλόμενος, ἠξίου λέων αὐτὸς εἶναι, πρὸς ἀγνοοῦντας τοὺς Κυμαίους ὀγκώμενος μάλα τραχὺ καὶ καταπληκτικόν· ἄχρι δή τις αὐτὸν ξένος, καὶ λέοντα ἰδὼν πολλάκις καὶ ὄνον, ἤλεγξε παίων τοῖς ξύλοις.

334. Ὄνος καὶ Λύκος. (C. 259 et p. 390. F. 134. B. 122.)

Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει. Λύκον δὲ ἰδὼν ἔφη αὐτῷ· „ὦ λύκε, ἰδοὺ ἐκ τοῦ πόνου ἀποθνήσκω· καὶ δεῖ με (μᾶλλον) σοῦ γενέσθαι δεῖπνον, ἢ γυπῶν ἢ κοράκων. Χάριν δὲ μίαν αἰτῶ σε, ἐξελεῖν πρῶτον τὸν σκόλοπα ἐκ τοῦ ποδός μου, ὅπως μὴ μετὰ πόνου τεθνήξομαι.“ Ὁ δὲ λύκος ἄκροις ὀδοῦσι δακὼν τὸν σκόλοπα ἐξεῖλεν. Ὁ ὄνος δὲ λυθεὶς τοῦ πόνου, ἐπὶ τὸν λύκον χάσκοντα λακτίσας, φεύγει, ῥῖνας καὶ μέτωπον καὶ ὀδόντας συνθλάσας. Ὁ δὲ λύκος ἔφη· „οἴμοι, δίκαια πάσχω, ὅτι μάγειρος εἶναι μαθὼν, τὸ πρῶτον νῦν ἱππίατρος ἠθέλησα γενέσθαι.“

Ὅτι τινὲς, διπλοῖς κινδύνοις περιπεσόντες, τοῖς ἐχθροῖς ὠφελεῖν πειρωμένοις δολίως ἀνταμοιβὴν κακὴν παρέσχον.

334^{b}. Ἄλλως. (S. 183 et 227. F. 140. C. p. 391.)

Ὄνος, ἔν τινι λειμῶνι νεμόμενος, ὡς ἐθεάσατο λύκον ἐπ' αὐτὸν ὁρμώμενον, χωλαίνειν προσεποιεῖτο. Τοῦ δὲ προσελθόντος αὐτῷ, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν χωλαίνει, ἔλεγεν, ὡς φραγμὸν διαβαίνων σκόλοπα ἐπάτησε, καὶ παρῄνει αὐτῷ πρῶτον ἐξελεῖν τὸν σκόλοπα, εἶθ' οὕτως αὐτὸν καταθοινήσασθαι, ἵνα

μὴ ἐσθίων περιπαρῇ. Τοῦ δὲ πεισθέντος καὶ τὸν πόδα αὐτοῦ ἐπάραντος, ὅλον τε τὸν νοῦν πρὸς τῇ ὁπλῇ ἔχοντος, ὁ ὄνος λὰξ εἰς τὸ στόμα τοὺς ὀδόντας αὐτοῦ ἐξετίναξε. Καὶ ὃς διατεθεὶς κακῶς ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γάρ, τοῦ πατρός με μαγειρικὴν τέχνην διδάξαντος, αὐτὸς ἰατρικῆς ἐπελαβόμην;"

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσι.

334[c]. *Ἄλλως.* (C. p. 171.)

Ὀδοῦσιν ἧλον εἷλεν ἐξ ὄνου λύκος·
αἰτῶν δὲ μισθὸν πλήττεται λὰξ τὴν γένυν.
Λύκος δέ φησι· „πῶς μάγειρος ὢν πάλαι,
ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως;"

Πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

335. *Ὄνος καὶ Ὀνηλάτης.* (S. 182. F. 139. C. 401.)

Ὄνος ὑπὸ ὀνηλάτου ἀγόμενος, ὡς μικρὸν τῆς ὁδοῦ προῆλθεν, ἀφεὶς τὴν λείαν εἰς κρημνὸν ἐφέρετο· μέλλοντος δ' αὐτοῦ κατακρημνίζεσθαι, ὁ ὀνηλάτης ἐπιλαβόμενος τῆς οὐρᾶς ἐπειρᾶτο περιάγειν αὐτόν· τοῦ δὲ εὐτόνως ἀντιπίπτοντος, ἀφεὶς αὐτὸν ἔφη· „νίκα· κακὴν γὰρ νίκην νικᾷς."

Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.

336. *Ὄνος λεοντῆν φέρων.* (S. 184. C. 113 et p. 321. F. 141.)

Ὄνος, ἐνδυσάμενος λέοντος δέρμα, περιήει ἐκφοβῶν τὰ ἄλογα ζῶα. Καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, ἔφη πρὸς αὐτόν· „ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα."

Οὕτως ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

337. *Ὄνος καὶ Τέττιγες.* (F. 137. C. 255 et p. 389.)

Ὄνος ἀκούσας τεττίγων ᾀδόντων, ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ, καὶ ζηλώσας αὐτῶν τὴν ἡδύτητα εἶπε· „τί σιτούμενοι τοιαύτην φωνὴν ἀφίετε;“ Τῶν δὲ εἰπόντων δρόσον, ὁ ὄνος προσπαραμένων τῇ δρόσῳ, λιμῷ διεφθάρη.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες, παρὰ τὸ μὴ ἐπιτυχεῖν ὧν ἐφίενται, καὶ τὰ μέγιστα δυστυχοῦσιν.

337b. *Ἄλλως.* (S. 180.)

Ὄνος ἀκούσας τεττίγων ᾀδόντων ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ, καὶ ζηλώσας αὐτῶν τὴν φωνὴν ἐπελάθετο καὶ τῆς οἰκείας φωνῆς.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες καὶ ἃ ἔχουσι δυστυχοῦσι.

338. *Ὄνος παίζων.* (F. 368. C. 412. B. 125.)

Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων
τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ' ὄνος πρὸς αὐτὸν, ὅς τὸ νῶτον ἤλεγχεν,
„καὶ μὴν πίθηκος ἐχθὲς“ εἶπε „καὶ πρώην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας.“

Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίας ἔχοντας τὰς δόξας καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.

339. *Ὄνου σκιά.* (F. 392. C. 320. ex Plut. Vitis X Orat. p. 401.)

Δημοσθένης ὁ ῥήτωρ, λέγειν ποτὲ κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, βραχὺ ἔφη βούλεσθαι πρὸς αὐ-

τοὺς εἰπεῖν. Τῶν δὲ σιωπησάντων, „Νεανίας“ εἶπε „θέρους ὥρᾳ ἐμισθώσατο ἐξ ἄστεος ὄνον Μεγάραδε. Μεσούσης δὲ τῆς ἡμέρας καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν λέγων, ὁ δὲ μεμισθωμένος τὴν πᾶσαν ἔχειν ἐξουσίαν.“ Καὶ ταῦτα εἰπὼν ἀπήει. Τῶν δὲ Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, „εἶθ' ὑπὲρ μὲν ὄνου σκιᾶς“ ἔφη „βούλεσθε ἀκούειν, λέγοντος δὲ ὑπὲρ σπουδαίων πραγμάτων οὐ βούλεσθε;“

339b. Ἄλλως. (C. p. 213.)

Ἐμισθώσατό τις ὄνον ἀπιὼν εἰς Δελφούς. Καὶ ὡς καῦμα κατήπειγεν, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου κατέδυ ὁ μισθωσάμενος αὐτόν. Ὁ δὲ τοῦ ὄνου δεσπότης ἐμάχετο αὐτῷ, λέγων ὅτι „τὸν ὄνον σοι ἐμίσθωσα, οὐχὶ καὶ τὴν σκιὰν αὐτοῦ.“

Ὁ λόγος περὶ τῶν ἐπ' εὐτελέσι φιλονεικούντων.

340. Ὀρνιθοθήρας καὶ Κόρυδος.
(S. 189. C. 46 et p. 304. F. 146.)

Ὀρνιθοθήρας πτηνοῖς παγίδας ἵστα· κόρυδος δὲ αὐτὸν θεασάμενος ἠρώτα, τί ποιεῖ. Τοῦ δὲ εἰπόντος πόλιν κτίζειν, καὶ μικρὸν ὑποχωρήσαντος, πεισθεὶς τοῖς λόγοις προσῆλθεν· ἐσθίων δὲ τὸ δέλεαρ ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. Τοῦ δὲ ὀρνιθοθήρου προσδραμόντος καὶ συλλαβόντος αὐτὸν, ὁ κόρυδος ἔφη· „ἐὰν τοιαύτας πόλεις κτίζῃς, οὐ πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις.“

Ὁ λόγος δηλοῖ, ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσι.

341. Ὀρνιθοθήρας, Πέρδιξ καὶ Ἀλεκτορίσκος.
(F. 369. C. 413. B. 124.)

Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι·
„τὸ λοιπὸν" εἶπε „δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς τὸν ἦχον ὑπνώσεις;"
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἠβουλήθη.
ὁ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας·
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει,
τὸν ὡρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ
πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;
ἔργων δὲ τίς σε πρωινῶν ἀναμνήσει,
ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;"
κἀκεῖνος εἶπεν· „οἶδα χρησίμους ὥρας·
ὅμως δὲ δεῖ σχεῖν τὸν φίλον τι δειπνῆσαι."

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς λόγος ἰσχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.

342. Ὄρνις καὶ Χελιδών. (S. 188. C. 117 et p. 323. F. 145.)

Ὄρνις ὄφεως ᾠὰ εὑροῦσα ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαπτε. Χελιδὼν δὲ θεασαμένη αὐτὴν ἔφη· „ὦ ματαία, τί ταῦτα ἀνατρέφεις, ἅπερ, ἂν αὐξηθῇ, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;"

Οὕτως ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μάλιστα εὐεργετῆται.

343. *Ὄρνις χρυσοτόκος.* (C. 136 et p. 335. F. 153. B. 123.)

Ὄρνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι καὶ τὴν ἀπληστίαν φεύγειν.

343[b]. *Ἄλλως. Χὴν χρυσοτόκος.* (S. 88.)

Ἑρμῆς θρησκευόμενος ὑπό τινος περιττῶς χῆνα αὐτῷ ἐχαρίσατο ὠὰ χρύσεα τίκτουσαν· ὁ δὲ οὐκ ἀναμείνας τὴν κατὰ μικρὸν ὠφέλειαν, ὑπολαβὼν δὲ, ὅτι πάντα τὰ ἐντὸς χρύσεα ἔχει ὁ χὴν, οὐδὲν μελλήσας ἔθυσεν αὐτήν. Συνέβη δ' αὐτὸν μὴ μόνον ὃ προσεδόκησε σφαλῆναι, ἀλλὰ καὶ τὰ ὠὰ ἀποβαλεῖν· τὰ γὰρ ἐντὸς πάντα σαρκώδη εὗρεν.

Οὕτως πολλάκις οἱ πλεονέκται δι' ἐπιθυμίαν πλειόνων καὶ τὰ ἐν χερσὶν ὄντα προΐενται.

344. *Οὐρὰ καὶ Μέλη ὄφεως.* (C. 260. F. 313.)

Οὐρά ποτε ὄφεως ἠξίου πρώτη προάγειν καὶ βαδίζειν. Τὰ δὲ λοιπὰ μέλη ἔλεγον· „πῶς χωρὶς ὀμμάτων καὶ ῥινὸς ἡμᾶς ἄξεις, ὡς καὶ τὰ λοιπὰ ζῶα;“ Ταύτην δὲ οὐκ ἔπειθον, ἕως τὸ φρονοῦν ἐνικήθη. Ἡ οὐρὰ δὲ ἦρχε καὶ ἦγε, σύρουσα τυφλὴ πᾶν τὸ σῶμα, ἕως εἰς βάραθρον πετρῶν ἐνεχθεῖσα, τὴν ῥάχιν καὶ πᾶν τὸ σῶμα ἔπληγεν. Σαίνουσα δὲ ἱκέτευε τὴν κεφαλὴν, λέγουσα· „σῶσον ἡμᾶς, εἰ θέλεις, δέσποινα· τῆς κακῆς γὰρ ἔριδος ἐπειράθην.“

Ἄνδρας δολίους καὶ κακοὺς καὶ τοῖς δεσπόταις ἐπανισταμένους ὁ λόγος ἐλέγχει.

345. *Ὄφις, Γαλῆ καὶ Μύες.* (C. 261. F. 314. S. 265.)

Ὄφις καὶ γαλῆ ἔν τινι οἰκίᾳ ἐμάχοντο· οἱ δὲ ἐνταῦθα μύες ἀεὶ καταναλισκόμενοι ὑπ' ἀμφοτέρων, ὡς ἐθεάσαντο αὐτοὺς μαχομένους, ἐξῆλθον βαδίζοντες. Ἰδόντες δὲ τοὺς μύας, τότε ἀφέντες τὴν πρὸς ἀλλήλους μάχην, ἐπ' ἐκείνους ἐτράπησαν.

Οὕτω καὶ οἱ ἐν ταῖς τῶν δημαγωγῶν στάσεσιν αὑτοὺς παρεισβάλλοντες λανθάνουσιν αὐτοὶ ἑκατέρων παρανάλωμα γινόμενοι.

346. *Ὄφις καὶ Καρκίνος.* (C. 70. F. 231. S. 192.)

Ὄφις καρκίνῳ συνδιῃτᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. Ὁ μὲν οὖν καρκίνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκείνῳ παρῄνει τῆς πανουργίας· ὁ δὲ οὐδοτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. Ἐπιτηρήσας δ' ὁ καρκίνος αὐτὸν ὑπνοῦντα, καὶ τοῦ φάρυγγος τῇ χηλῇ λαβόμενος καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. Τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν· „οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι· οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες αὐτοὶ μᾶλλον βλάπτονται.

347. *Ὄφις πατούμενος.* (C. 119 et p. 324. F. 149. S. 194.)

Ὄφις, ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διὶ ἐνετύγχανεν. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· „ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι τοῖς ἄλλοις φοβεροὶ γίνονται.

348. *Παιδίον ἐσθίον σπλάγχνα.*
(C. 262 et p. 391. F. 40. S. 47. B. 34.)

Βοῦν τινες ἐπ' ἀγρῷ θύσαντες, τοὺς συγγενεῖς εκαλεσαν· ἐν δὲ τούτοις ἦν καὶ γυνὴ πενιχρὰ, μεθ' ἧς καὶ ὁ παῖς. Τὸ δὲ παιδίον, τῶν κρεῶν πλήσας τὴν γαστέρα καὶ ὀδυνώμενος, ἔλεγεν· „ὦ μῆτερ, ἐμῶ τὰ σπλάγχνα.“ Ἡ δὲ εἶπεν· „οὐχὶ τὰ σὰ, τέκνον, ἃ δὲ κατέφαγες.“

Ὁ λόγος πρὸς ἄνδρα χρεωφειλέτην, ὅστις ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀπαιτηθῇ, οὕτως ἄχθεται, ὡς οἴκοθεν προϊέμενος.

349. *Παῖς καὶ Πατήρ.* (C. 264.)

Υἱόν τις γέρων δειλὸς μονογενῆ ἔχων γενναῖον, κυνηγεῖν ἐφιέμενον, εἶδε τοῦτον καθ' ὕπνους ὑπὸ λέοντος ἀναλωθέντα. Φοβηθεὶς δὲ, μή πως ὁ ὄνειρος ἀληθεύσῃ, οἴκημα κάλλιστον καὶ μετέωρον κατεσκεύασε· κἀκεῖσε τὸν υἱὸν εἰσαγαγὼν ἐφύλαττεν. Ἐζωγράφησε δὲ ἐν τῷ οἰκήματι πρὸς τέρψιν τοῦ υἱοῦ παντοῖα ζῶα, ἐν οἷς ἦν καὶ λέων. Ὁ δὲ ταῦτα ὁρῶν πλείονα λύπην εἶχε. Καὶ δή ποτε πλησίον τοῦ λέοντος στὰς εἶπεν· „ὦ κάκιστον θηρίον, διὰ σὲ καὶ τὸν ψευδῆ ὄνειρον τοῦ ἐμοῦ πατρὸς τῇδε τῇ οἰκίᾳ κατεκλείσθην, ὡς ἐν φρουρᾷ· τί σοι ποιήσω;“ Καὶ εἰπὼν ἐπέβαλε τῷ τοίχῳ τὴν χεῖρα, ἐκτυφλῶσαι τὸν λέοντα. Σκόλοψ δὲ τῷ δακτύλῳ αὐτοῦ ἐμπαρεὶς, ὄγκωμα καὶ φλεγμονὴν μέχρι βουβῶνος εἰργάσατο· πυρετὸς δὲ ἐπιγενόμενος αὐτῷ, θᾶττον τοῦ βίου μετέστησεν. Ὁ δὲ λέων καὶ οὕτως ἀνῄρηκε τὸν παῖδα, μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς δύναται τὸ μέλλον ἐκφυγεῖν.

349b. *Ἄλλως. Υἱὸς καὶ Λέων γεγραμμένος.* (F. 187. C. p. 393. B. fragm. 135. ed. L.)

Υἱόν τις ἔχων μονογενῆ ἀνδρεῖον, εἶδε καθ' ὕπνον ὑπὸ λέοντος θνήσκειν. Ὁ δὲ φοβηθεὶς, μή πως τοὔναρ ἀληθεύσῃ, οἴκημα τερπνὸν αὐτῷ κατασκευάσας, ἐζωγράφησε τοὺς τοίχους πρὸς τὴν τέρψιν, ζώοις παντοίοις αὐτοὺς ἐγκαλλωπίσας, ἐν οἷς καὶ λέων ἀπεμορφώθη. Ὡς οὖν ἑώρα τὸν λέοντα ὁ νέος, μᾶλλον κατεῖχεν αὐτὸν ἡ λύπη πλέον, ὃς ἱστάμενος τοῦ λέοντος πλησίον, τούτῳ προσεῖπεν· „ὦ κάκιστον θηρίον, διὰ τὸ ὄναρ τὸ ψευδὲς τοῦ πατρός μου, ὃ αὐτὸς ἑώρακεν ἐν ὕπνοις μάτην, προσκατεκλείσθην φρουρᾷ τῇ γυναικείᾳ· ἆ! τί δέ σοι ἐγὼ ἄρτι ποιήσω;“ Ταῦτα αὐτοῦ τῷ λέοντι εἰπόντος, ἐπεξέτεινε τὴν χεῖρα ἐπὶ βάτον, τοῦ λαβεῖν κλάδους καὶ τὸν λέοντα κροῦσαι. Εὐθὺς δὲ σκόλοψ προσκρούσας τῷ δακτύλῳ, ἄλγει μεγάλῳ ἐφλέγμανε τὸν νέον, καὶ παραυτίκα ἄλαλος κατεκλίθη. Ὑπανάψας δὲ πυρετὸς ἐξαπίνης, θᾶττον ὁ νέος ἐξέλιπε τὸν βίον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἃ μέλλει συμβῆναί τινι, τούτοις γενναίως ἐγκαρτερείτω, καὶ μὴ κατασοφιζέσθω· οὐ γὰρ ἐκφεύξει.

350. *Παῖς καὶ Σκορπίος.* (F. 158. C. 263 et p. 392. S. 195.)

Παῖς πρὸ τοῦ τείχους ἀκρίδας ἐθήρευε. Πολλὰς δὲ συλλαβὼν, ὡς ἐθεάσατο σκορπίον, νομίσας ἀκρίδα εἶναι, κοιλάνας τὴν χεῖρα οἷός τε ἦν καταφέρειν αὐτοῦ. Καὶ ὃς τὸ κέντρον ἐπάρας ἔφη· „εἴθε γὰρ τοῦτο ποιήσειας, ἵνα καὶ ἃς συνείληφας ἀκρίδας, ταύτας ἀποβάλῃς.“

Ὁ λόγος διδάσκει ἡμᾶς, μὴ δεῖν πᾶσι τοῖς χρηστοῖς καὶ πονηροῖς τὰ αὐτὰ προσφέρειν.

350b. *Ἄλλως. Παῖς ἀκρίδας θηρεύων.*
(C. 263 et p. 393. F. 171.)

Παῖς τις θηρεύων ἀκρίδας περιέτυχε σκορπίῳ. Ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν θεασάμενος, τὸ κέντρον ὀξύνας, εἶπεν· „ἄπελθε, παῖ, μὴ κἀμὲ θηρεύων πάντας, οὓς ἔχεις, ἀπολέσῃς."

Ὁ μῦθος δηλοῖ, ὅτι καλόν ἐστι τὰ ἐναντία γινώσκειν, καὶ τὸ μὲν καλὸν πράττειν, τὸ δὲ κακὸν ἐκφεύγειν.

351. *Παῖς κλέπτης καὶ Μήτηρ.*
(S. 196. C. 48 et p. 305. F. 159.)

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον ἀνελόμενος τῇ μητρὶ ἐκόμισε· τῆς δὲ οὐ μόνον αὐτὸν οὐκ ἐπιπληξάσης, ἀλλὰ καὶ ἐπαινεσάσης αὐτὸν, ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ, καὶ ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο. Προϊὼν δὲ τοῖς χρόνοις ὁ νεανίας ἐπὶ τὰ μείζονα ἐχώρει· ληφθεὶς δέ ποτε καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοκοπουμένης, ὁ νεανίας εἶπεν· „θέλω τι εἰπεῖν τῇ μητρί μου εἰς τὸ οὖς·" τῆς δὲ προσελθούσης, ταχέως ἐπελάβετο τοῦ ὠτίου αὐτῆς, καὶ ἀπέκοψε. Τῆς δὲ κατηγορούσης αὐτὸν ὡς δυσσεβῆ, ἐκεῖνος ἔφη· „ἀλλὰ τότε, ὅτε σοὶ πρῶτον τὴν δέλτον κλέψας ἤνεγκα, εἰ ἔπληξάς με, οὐκ ἂν μέχρι τούτου ἐχώρησα, καὶ ἐπὶ θάνατον ἠγόμην."

Ὁ λόγος δηλοῖ, ὅτι τὸ κατ' ἀρχὰς μὴ κωλυόμενον ἐπὶ μεῖζον αὔξει.

352. *Παῖς λουόμενος.* (F. 167. C. 310 et p. 404. S. 207.)

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι. Ἰδὼν δέ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοήθειᾳ ἐκάλει· ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ

δὲ μειράκιον εἶπε πρὸς αὐτόν· „ἀλλὰ νῦν μοι βοήθει, ὕστερον δὲ σωθέντι μέμψαι.“

Ὁ μῦθος δηλοῖ τοῦτο· „μὴ μέμφου, πλὴν ἐλέησον.“

353. *Παῖς ψεύστης.* (C. 266.)

Παιδίον πρόβατα νέμον, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· „βοηθεῖτε ὧδε· ἔρχεται λύκος.“ Οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. Τοῦτο δὲ ποιήσαντος πολλάκις, εὕρισκον ψευδόμενον. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος, καὶ τοῦ παιδὸς βοῶντος „δεῦτε, λύκος,“ οὐκέτι τις ἐπίστευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος εὑρηκὼς ἄδειαν τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

Ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιστεύεται.

353ᵇ. *Ἄλλως. Ποιμὴν παίζων.* (F. 166. C. p. 395.)

Ποιμὴν, ἐξελαύνων αὐτοῦ τὴν ποίμνην ἀπό τινος κώμης ποῤῥωτέρω, διετέλει τοιαύτῃ παιδιᾷ χρώμενος. Ἐπιβοώμενος γὰρ τοὺς πολίτας ἐπὶ βοήθειαν, ἔλεγεν, ὡς λύκοι τοῖς προβάτοις ἐπήλθοσαν. Δὶς καὶ τρὶς τῶν ἐκ τῆς κώμης ἐκπλαγέντων καὶ ἐκπηδησάντων, εἶτα μετὰ γέλωτος ἀπαλλαγέντων, συνέβη τὸ τελευταῖον τῇ ἀληθείᾳ λύκους ἐπελθεῖν. Ἀποτεμνομένης δὲ αὐτοῦ τῆς ποίμνης, καὶ αὐτοῦ ἐπιβοῶντος ἐπὶ βοηθείᾳ, ἐκεῖνοι ὑπολαβόντες αὐτὸν παίζειν κατὰ τὸ ἔθος, ἧττον ἐφρόντιζον. Καὶ οὕτως συνέβη αὐτὸν ἀπολέσαι τὰ πρόβατα.

Ὁ λόγος δηλοῖ, ὅτι τοῦτο κερδαίνουσιν οἱ ψευδόμενοι, τὸ μηδὲ ὅταν ἀληθεύωσι πιστεύεσθαι.

354. *Παρακαταθήκας εἰληφὼς καὶ Ὅρκος.* (F. 372. C. 416.)

Παρακαταθήκας τις λαβὼν φίλου ἀποστερεῖν διενοεῖτο. Καὶ δὴ προσκαλουμένου αὐτὸν ἐκείνου ἐπὶ ὅρκον, εὐλαβούμενος εἰς ἀγρὸν ἐπορεύετο. Γενόμενος δὲ κατὰ τὰς πύλας, ὡς ἐθεάσατό τινα χωλὸν ἐξιόντα, ἐπυνθάνετο αὐτοῦ, τίς τε εἴη, καὶ ποῖ πορεύοιτο; Τοῦ δὲ εἰπόντος αὐτὸν Ὅρκον εἶναι, καὶ ἐπὶ τοὺς ἀσεβεῖς βαδίζειν, ἐκ δευτέρου ἠρώτα, διὰ πόσου χρόνου φοιτᾶν ταῖς πόλεσι εἴωθεν. Ὁ δὲ ἔφη· „διὰ τεσσαράκοντα ἐτῶν, ἐνίοτε δὲ καὶ διὰ τριάκοντα.“ Καὶ ὃς οὐδὲν μελλήσας τῇ ὑστεραίᾳ ὤμοσε μὴ εἰληφέναι τὴν παρακαταθήκην. Περιπεσὼν δὲ τῷ Ὅρκῳ, καὶ ἀπαγόμενος ὑπ' αὐτοῦ ἐπὶ κρημνὸν, ᾐτιᾶτο αὐτὸν, ὡς, προειπὼν αὐτῷ διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεσθαι, οὐδὲ πρὸς μίαν ἡμέραν ἄδειαν δέδωκεν. Ὁ δὲ ὑπολαβὼν ἔφη· „ἀλλ' εὖ ἴσθι, ὡς ὅταν μέλλῃ τις ἀνιᾶσαί με καὶ αὐθημερὸν ἐπιφοιτᾶν εἴωθα.“

Ὁ λόγος δηλοῖ, ὅτι ἀδιόριστός ἐστιν ἡ κατὰ τῶν ἀσεβῶν ἐκ θεοῦ τιμωρία.

355. *Πένθους γέρας.*
(C. 321. F. 393. ex Plut. Consol. ad Apoll. c. 19.)

Φασί τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα πρὸς Ἀρσινόην τὴν βασίλισσαν, πενθοῦσαν τὸν υἱὸν, τοιούτῳ χρήσασθαι λόγῳ, φάμενον ὅτι „Καθ' ὃν χρόνον ὁ Ζεὺς ἔνεμε τοῖς δαίμοσι τὰς τιμὰς, οὐκ ἔτυχε παρὸν τὸ πένθος· ἤδη δὲ νενεμημένων, ἦλθεν ὕστερον. Τὸν οὖν Δία, ὡς ἠξίου καὶ αὐτῷ τιμὴν διδόναι, ἀποροῦντα διὰ τὸ ἤδη καταναλῶσθαι πάσας τοῖς ἄλλοις, ταύτην αὐτῷ δοῦναι τὴν ἐπὶ τοῖς τελευτήσασι γιγνομένην, οἷον δάκρυα καὶ λύπας.“ Ὥσπερ οὖν τοὺς ἄλλους δαίμονας, ὑφ' ὧν τιμῶνται, τούτους ἀγαπᾶν, τὸν αὐτὸν τρόπον

καὶ τὸ πένθος. Ἐὰν μὲν αὐτὸ ἀτιμάσῃς, ὦ γύναι, οὐ προσελεύσεταί σοι· ἐὰν δὲ τιμᾶται ὑπὸ σοῦ ἐπιμελῶς ταῖς δοθείσαις αὐτῷ τιμαῖς, λύπαις καὶ θρήνοις, ἀγαπήσει σε, καὶ ἀεί τί σοι παρέξεται τοιοῦτον, ἐφ' ᾧ τιμηθήσεται παρὰ σοῦ συνεχῶς.

356. *Πέρδιξ καὶ Ἄνθρωπος.* (C. 164 et p. 353. F. 172.)

Πέρδικά τις θηρεύσας ἤμελλε σφάξαι· ἡ δὲ ἱκέτευε λέγουσα· „ἔασόν με ζῆν· ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω.“ Ὁ δὲ εἶπεν· „δι' αὐτὸ τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις.“

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κατὰ τῶν ἑαυτοῦ φίλων δολίας μηχανὰς συντιθεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

357. *Περιστερὰ διψῶσα.* (S. 197. C. 120 et p. 324. F. 160.)

Περιστερὰ δίψει συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι πίνακι κρατῆρα ὕδατος γεγραμμένον, ὑπέλαβεν ἀληθινὸν εἶναι· διόπερ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα καὶ ἐντινάξασα. Συνέβη οὖν αὐτῇ, τῶν πτερῶν περικλασθέντων, ἐπὶ τὴν γῆν καταπεσοῦσαν ὑπό τινος τῶν παρατυχόντων καταληφθῆναι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, διὰ σφοδρὰς ἐπιθυμίας ἀπερισκέπτως τοῖς πράγμασιν ἐπιχειροῦντες, ἑαυτοὺς εἰς ὄλεθρον βάλλουσι.

358. *Περιστερὰ καὶ Κορώνη.* (S. 198. C. 121 et p. 325. F. 161.)

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δὲ αὐτῆς ἀκούσασα ἔφη· „ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ ἀλαζονευο-

μένῃ· ὅσον γὰρ ἂν πλείονα ποιῇς, τοσοῦτον περιττοτέρας λύπας συνάγεις."

Οὕτω καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ τέκνα ποιοῦσι πολλά.

359. *Πῆραι δύο.* (C. 337. F. 407. B. 66.)

Ἀνθρώπων ἕκαστος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, γέμει δὲ κακῶν ἑκατέρα· ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

360. *Πίθηκοι ὀρχησταί.* (C. 355. F. 405. ex Luc. Piscat. 36.)

Λέγεται βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυῤῥιχίζειν διδάξαι· καὶ τὰ θηρία (μιμηλότατα δέ ἐστι τῶν ἀνθρωπίνων) ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι, ἁλουργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα· καὶ μέχρι γε πολλοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος, κάρυα ὑπὸ κόλπον ἔχων, ἀφῆκεν ἐς τὸ μέσον. Οἱ δὲ πίθηκοι ἰδόντες καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ' ὅπερ ἦσαν, πίθηκοι ἐγένοντο ἀντὶ πυῤῥιχιστῶν, καὶ ξυνέτριβον τὰ προσωπεῖα, καὶ τὴν ἐσθῆτα κατεῤῥήγνυον, καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλους· τὸ δὲ σύνταγμα τῆς πυῤῥίχης διελέλυτο καὶ κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου.

361. *Πίθηκοι πόλιν οἰκίζοντες.*
(C. 367. ex Hermog. Progymn. Vol. I, p. 13. Walz.)

Οἱ πίθηκοι συνελθόντες ἐβουλεύοντο περὶ τοῦ χρῆναι πόλιν οἰκίζειν· καὶ ἐπειδὴ ἔδοξεν αὐτοῖς, ἤμελλον ἅπτεσθαι τοῦ ἔργου. Γέρων οὖν τις πίθηκος ἐπέ-

σχεν αὐτοὺς εἰπών, ὅτι ῥᾷον ἁλώσονται περιβόλων ἐντὸς ἀποληφθέντες.

362. *Πίθηκος καὶ Ἁλιεῖς.* (S. 199. C. 309 et p. 404. F. 162.)

Πίθηκος ἐπί τινος ὑψηλοῦ δένδρου καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἔν τινι ποταμῷ σαγήνην βάλλοντας, παρετήρει τὰ ὑπ' αὐτῶν πραττόμενα. Ὡς δὲ ἐκεῖνοι τὴν σαγήνην ἀνασπάσαντες μικρὸν ἄποθεν ἠρίστων, ὁ πίθηκος καταβὰς ἀπὸ τοῦ δένδρου ἐπειρᾶτο καὶ αὐτὸς τὰ αὐτὰ πράττειν· φασὶ γὰρ μιμητικὸν ζῶον εἶναι τοῦτο. Ἐφαψάμενος δὲ τῶν δικτύων ὡς συνελήφθη, ἔφη πρὸς ἑαυτόν· „ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γάρ, ἁλιεύειν μὴ μαθών, τούτῳ ἐπεχείρουν;"

Ὁ λόγος δηλοῖ, ὅτι ἡ τῶν μηδὲν προσηκόντων ἐπιχείρησις οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβής ἐστι.

363. *Πίθηκος καὶ Δελφίς.* (C. 88. F. 242. S. 74.)

Ἔθους ὄντος τοῖς πλέουσι μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον. Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον, τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφὶς δέ τις αὐτὸν θεασάμενος καὶ ἄνθρωπον εἶναι ὑπολαβών, ὑπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο, εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτῷ καὶ συνήθη. Καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Ὁ μῦθος πρὸς ἄνδρας, οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες ἀπατᾶν νομίζουσιν.

364. *Πίθηκος καὶ Ζεύς.* (B. 56.)

Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζώοις
ὁ Ζεὺς ἔθηκε, πάντα δ' ἔβλεπεν κρίνων.
ἦλθεν δὲ καὶ πίθηκος, ὡς καλὴ μήτηρ
πίθωνα γυμνὸν σιμὸν ἠρμένη κόλποις.
γέλως δ' ἐπ' αὐτῷ τοῖς θεοῖς ἐκινήθη·
ἡ δ' εἶπεν οὕτω· „Ζεὺς μὲν οἶδε τὴν νίκην·
ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων."
[Ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν·
τά γ' αὐτὸς αὑτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.]

365. *Πίθηκος καὶ Κάμηλος.* (C. 387. F. 71.)

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ἀναστὰς ὠρχεῖτο. Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος, καὶ ὑπὸ πάντων ἐπισημαινομένου, κάμηλος φθονήσασα ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι. Διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο καὶ αὐτὴ ὀρχεῖσθαι· πολλὰ δὲ αὐτῆς ἄτοπα ποιησάσης, τὰ ζῶα ἀγανακτήσαντα, ῥοπάλοις αὐτὴν παίοντα ἐξήλασαν.

Πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους καὶ σφαλλομένους ὁ λόγος εὔκαιρος.

366. *Πιθήκου παῖδες.* (F. 182. C. 267 et p. 396. S. 215.)

Τοὺς πιθήκους φασὶ δύο τίκτειν, καὶ τὸ μὲν ἓν τῶν γεννημάτων στέργειν καὶ μετ' ἐπιμελείας τρέφειν, τὸ δὲ ἕτερον μισεῖν καὶ ἀμελεῖν. Συμβαίνει δὲ κατά τινα θείαν τύχην, τὸ μὲν ἐπιμελούμενον ἡδέως καὶ ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς ἀποπνίγεσθαι, τὸ δὲ ὀλιγωρούμενον ἐκτελειοῦσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκε.

366[b]. *Ἄλλως.* (C. 267. B. 35.)

Δύο γεννᾷ τέκνα μιμώ· καὶ τὸ μὲν ἓν ἀγαπᾷ, τὸ δὲ ἕτερον μισεῖ. Καὶ ὃ μὲν στέργει, ἀεὶ ἐν τοῖς κόλποις περιφέρουσα καὶ τιθεῖσα ἔνθεν κἀκεῖθεν καὶ τοῦτο καταφιλοῦσα ἀποπνίγει· ὃ δὲ μισεῖ καὶ διώκει, τοῦτο ἐν ταῖς ἐρημίαις ἀπελθὸν ζῇ καθ' αὑτό.

Ὅτι τισὶν ἐχθραίνειν μᾶλλόν ἐστι καλὸν ἢ φιλεῖν.

367. *Πλέοντες.* (C. 268. F. 315.)

Ἐμβάντες τινὲς εἰς σκάφος ἔπλεον. Γενομένων δὲ αὐτῶν πελαγίων, συνέβη χειμῶνα ἐξαίσιον γενέσθαι, καὶ τὴν ναῦν μικροῦ καταδύεσθαι. Τῶν δὲ πλεόντων ἕτερος περιῤῥηξάμενος τοὺς πατρῴους θεοὺς ἐπεκαλεῖτο μετὰ οἰμωγῆς καὶ στεναγμῶν, χαριστήρια ἀποδώσειν ἐπαγγελλόμενος, ἐὰν περισωθῶσι. Παυσαμένου δὲ τοῦ χειμῶνος καὶ πάλιν γαλήνης γενομένης, εἰς εὐωχίαν τραπέντες ὠρχοῦντό τε καὶ ἐσκίρτων, ἅτε δὴ ἐξ ἀπροσδοκήτου διαπεφευγότες κινδύνου. Καὶ στεῤῥὸς ὁ κυβερνήτης ὑπάρχων ἔφη πρὸς αὐτούς· „ἀλλ' ὦ φίλοι, οὕτως ἡμᾶς γεγηθέναι δεῖ, ὡς πάλιν, ἐὰν τύχῃ, χειμῶνος ἐσομένου.“

Μὴ σφόδρα κατεπαίρεσθαι ταῖς εὐτυχίαις ὁ μῦθος διδάσκει, τῆς τύχης τὸ εὐμετάβλητον ἐννοουμένους.

368. *Πλούσιος καὶ Βυρσοδέψης.* (S. 200. C. 269. F. 316.)

Πλούσιος βυρσοδέψῃ παρακείμενος, μὴ δυνάμενος τὴν δυσωδίαν φέρειν, ἐπέκειτο αὐτῷ, ἵνα μεταβῇ. Ὁ δὲ ἀνεβάλλετο, λέγων μετ' ὀλίγον χρόνον μεταβήσεσθαι. Τούτου δὲ συνεχῶς γενομένου, συνέβη τὸν

πλούσιον ἐν συνηθείᾳ τῆς ὀσμῆς τούτου γενόμενον, μηκέτι αὐτῷ διενοχλεῖν.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ δυσχερῆ τῶν πραγμάτων καταπραΰνει.

369. *Πλούσιος καὶ Θρηνῳδοί.* (S. 201. C. 122 et p. 325. F. 163.)

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς λαλούσης· „ὡς ἄθλιαι, εἴγε αὐταὶ, ὧν ἐστι τὸ πάθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μηδὲν προσήκουσαι οὕτω σφοδρῶς κόπτονται καὶ κλαίουσιν," ἡ μήτηρ ἔφη· „μὴ θαύμαζε, τέκνον, εἰ αὗται οὕτως θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν."

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

370. *Ποιμὴν καὶ Θάλασσα.* (C. 49.)

Ποιμὴν, ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. Ἀπεμπολήσας οὖν τὰ πρόβατα καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηῒ διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς, καὶ τῆς θαλάττης (ἔτυχε γὰρ αὕτη γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος εἶπε· „φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα."

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

370[b]. *Ἄλλως.* (F. 164. C. p. 306. S. 203.)

Ποιμὴν ἔν τινι τόπῳ παραθαλασσίῳ ποίμνια νέ-

μων, ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνόν τε καὶ πραεῖαν, ἐπεθύμησε πλεῦσαι· διόπερ πωλήσας αὐτοῦ τὰ πρόβατα καὶ φοίνικας ἀγοράσας, ναῦν ἐμφορτωσάμενος ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσας αὐτὸς μόλις ἐπὶ τῆς γῆς διεσώθη. Μετ' οὐ πολλὰς οὖν ἡμέρας τῆς θαλάσσης γαληνιώσης, ὡς ἐθεάσατό τινα παριόντα καὶ ἐπαινοῦντα τῆς θαλάσσης τὴν ἠρεμίαν, ἔφη· „ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ."

Οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνεται μαθήματα.

371. *Ποιμὴν καὶ Κύων.* (C. 271. F. 317. B. 113.)

Μάνδρας εἴσω πρόβατα ποιμὴν εἰσάγων, λύκον ἤμελλε συγκλεῖσαι, εἰ μὴ κύων ἰδὼν τοῦτον εἶπε πρὸς τὸν ποιμένα· „πῶς, τὰ πρόβατα σῶσαι θέλων, τόνδε τὸν λύκον συνεισάγεις τῇ ποίμνῃ;"

Ὅτι μεγίστην βλάβην καὶ θάνατον οἶδε προσφέρειν ἡ τῶν κακῶν συνουσία.

372. *Ποιμὴν καὶ Κύων.* (C. 272. F. 318. S. 202.)

Ποιμὴν, ἔχων κύνα παμμεγέθη, τούτῳ εἰώθει τὰ ἔμβρυα καὶ τὰ ἀποθνήσκοντα τῶν προβάτων παραβάλλειν. Καὶ δή ποτε εἰσελθούσης τῆς ποίμνης, ὁ ποιμὴν θεασάμενος τὸν κύνα προσιόντα τοῖς προβάτοις καὶ σαίνοντα αὐτὰ, εἶπεν· „ἀλλ' ὦ οὗτος, ὃ θέλεις σὺ τούτοις, ἐπὶ τῇ σῇ κεφαλῇ γένοιτο."

Πρὸς ἄνδρα λόγοις μὲν φίλον φαινόμενον, πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον.

372[b]. *Ἄλλως. Ποιμὴν καὶ Σκύλαξ.* (C. p. 179.)

Ποιμὴν σκύλακα εἰώθει τρέφειν ἐκ τῶν θνησκόντων προβάτων. Καὶ δή ποτε ἐγγὺς ἀμνάδος νοσούσης

ἱστάμενον εἶδε τὸν κύνα, κατηφῆ καὶ δοκοῦντα δακρύειν· καὶ ὁμαλίζων αὐτὸν εἶπεν· „καλῶς ποιεῖς συμπαθῶν· πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ συμβαίη ὅπερ θέλεις."

Ὅτι τοιοῦτος πᾶς ἐστιν, ὃς κληρονόμος ἐστίν.

373. *Ποιμὴν καὶ Λυκιδεῖς.* (C. 273. F. 319. S. 205.)

Ποιμὴν εὑρὼν λυκιδεῖς, τούτους μετὰ πολλῆς ἐπιμελείας ἀνέτρεφεν, οἰόμενος, ὅτι τελειωθέντες οὐ μόνον τὰ ἑαυτοῦ πρόβατα τηρήσουσιν, ἀλλὰ καὶ ἕτερα ἁρπάζοντες αὐτῷ οἴσουσιν. Οἱ δὲ ὡς τάχιστα ηὐξήθησαν, ἀδείας τυχόντες πρώτην αὐτοῦ τὴν ποίμνην διαφθείρειν ἤρξαντο. Ὁ δὲ ἀναστενάξας εἶπεν· „ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τούτους νηπίους ὄντας ἔσωζον, οὓς ἔδει καὶ ηὐξημένους ἀναιρεῖν;"

Οὕτως οἱ τοὺς πονηροὺς περισώζοντες λανθάνουσι καθ' αὐτῶν πρῶτον αὐτοὺς ῥωννύντες.

374. *Ποιμὴν καὶ Λύκος.* (C. 71. F. 232. B. fragm. 134. ed. L.)

Ποιμὴν, νεογνὸν λύκου σκύμνον εὑρὼν καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. Ἐπεὶ δὲ ηὐξήθη, εἴ ποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. Τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβὼν, οἷα δὴ λύκος, συμμετάσχῃ τῆς θήρας· εἶτα ὑπέστρεφεν. Εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρᾳ θύων ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ ποιμὴν στοχασάμενος καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

Ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

375. *Ποιμὴν καὶ Λύκος.* (F. 373. C. 417.)

Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο, εἶτα σκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν ἐκ τῶν σύνεγγυς ποιμνίων. Ὁ λύκος δὲ διδαχθεὶς ἔφη· „ὅρα, μή πως σὺ ἐθίσας με ἁρπάζειν, πολλὰ τῶν σεαυτοῦ προβάτων ζητήσῃς.“

Οἱ τῇ φύσει δεινοί, ἁρπάζειν καὶ πλεονεκτεῖν μαθόντες, τοὺς διδάξαντας πολλάκις πλείονα ἔβλαψαν.

376. *Ποιμὴν καὶ Λύκος.* (C. 270.)

Ἔδοξέ ποτε τῷ λύκῳ τὴν φύσιν τῷ σχήματι μεταλλάξασθαι, ὡς ἂν οὕτως ἀφθονίαν ἕξῃ τροφῆς· καὶ δορὰν οἰὸς περιβεβλημένος μετὰ τῆς ποίμνης ἐνέμετο, τὸν ποιμένα φενακίσας τῷ μηχανήματι. Νυκτὸς δὲ γενομένης, συναπεκλείσθη καὶ ὁ θὴρ παρὰ τοῦ ποιμένος τῇ μάνδρᾳ, καὶ φραγμὸς τῇ εἰσόδῳ περιετέθη, καὶ ἀτεχνῶς ὁ περίβολος κατησφάλιστο. Ὡς δὲ ὁ ποιμὴν ἠράσθη τροφῆς, μαχαίρᾳ τὸν λύκον ἀπέκτεινεν.

Οὕτως ἄρα ὁ τὸν ἐπείσακτον κόσμον ὑποκριθεὶς τῆς ζωῆς πολλάκις ἐστέρηται, καὶ τὴν σκηνὴν εὗρε παραιτίαν μεγάλου συμπτώματος.

377. *Ποιμὴν καὶ Μάγειρος.* (C. 329. F. 400.)

Ποιμὴν ἀνὴρ καὶ μάγειρος ἐβάδιζον ἄμφω κοινὴν ὁδόν. Ἰδόντες δὲ ἐκ ποίμνης ἄρνα εὐτραφῆ πλανώμενον, ἀπολειφθέντα τῶν συννόμων, ὥσαντο ἐπ᾽ αὐτὸν ἄμφω· ἦν δ᾽ ἄρα τότε ὁμόφωνα καὶ τὰ θηρία τοῖς ἀνθρώποις. Ἐρωτᾷ ὁ ἀμνός, τίς ὢν ἑκάτερος ἐθέλει αὐτὸν μεταχειρίσασθαι καὶ ἄγειν. Ὡς δὲ ἐπύθετο τἀληθῆ αὐτὰ καὶ ἀμφοῖν τὴν τέχνην, φέρων ἑαυτὸν ἐπιτρέπει τῷ ποιμένι, λέγων πρὸς τὸν μάγειρον· „σὺ μὲν γὰρ

δήμιός τις εἶ καὶ μιαιφόνος τῆς ἀρνῶν ποίμνης, τούτῳ δ' ἐξαρκέσειεν ἂν καλῶς τὰ ἡμέτερα ἔθη."

378. *Ποιμὴν καὶ Πρόβατα.* (F. 165. C. 123 et p. 326. S. 204.)

Ποιμὴν ἐλάσας τὰ πρόβατα εἴς τινα δρυμῶνα, ὡς ἐθεάσατο δρῦν παμμεγέθη μεστὴν βαλάνων, ὑποστρώσας τὸ ἱμάτιον ἐπὶ ταύτην ἀνέβη, καὶ τὸν καρπὸν κατέσειε. Τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους, ἔλαθε διαῤῥήξαντα καὶ τὸ ἱμάτιον. Ὁ δὲ ποιμὴν καταβὰς, ὡς ἐθεάσατο τὸ γεγονὸς, εἶπεν· „ὦ κάκιστα ζῶα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτα παρέχετε, ἐμοῦ δὲ τοῦ τρέφοντος καὶ τὸ ἱμάτιον ἀφείλεσθε."

Οὕτως καὶ τῶν ἀνθρώπων πολλοὶ, δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

379. *Πολεμιστὴς καὶ Κόρακες.* (C. 319. F. 390.)

Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει. Φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν. Εἶτα ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πάλιν ὑπέστη, καὶ τέλος εἶπεν· „ὑμεῖς κεκράξεσθε μὲν μέγιστον ὡς δυνατὸν, ἐμοῦ δὲ οὐ γεύσεσθε."

380. *Ποταμοὶ καὶ Θάλασσα.* (C. 371. F. 330.)

Ποταμοὶ συνῆλθον ἐπὶ τὸ αὐτὸ, καὶ τὴν θάλασσαν κατῃτιῶντο, λέγοντες αὐτῇ· „διὰ τί ἡμᾶς, εἰσερχομένους ἐν τοῖς σοῖς ὕδασι, καὶ ὑπάρχοντας ποτίμους καὶ γλυκεῖς, ἀπεργάζῃ ἁλμυροὺς καὶ ἀπότους;" Ἡ δὲ θάλασσα ἰδοῦσα, ὅτι αὐτῆς καταμέμφονται, λέγει πρὸς αὐτούς· „μὴ ἔρχεσθε καὶ μὴ γίνεσθε ἁλμυροί."

Οὗτος ὁ μῦθος παριστᾷ τοὺς ἀκαίρως αἰτιωμένους τινὰς, καὶ παρ' αὐτῶν μᾶλλον ὠφελουμένους.

381. *Ποταμὸς καὶ Βύρσα.* (C. 341. F. 422.)

Ποταμὸς, δι' αὐτοῦ βύρσαν φερομένην ἰδὼν, ἠρώτησε, τίς καλεῖται. Ἡ δὲ εἶπε „ξηρά.“ Ἐπικαχλάσας δὲ τῷ ῥεύματι εἶπεν· „ἄλλο τι ζήτει καλεῖσθαι· ἁπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήσω σε.“

382. *Πρόβατον κειρόμενον.* (S. 208. F. 168. C. p. 399.)

Πρόβατον ἀφυῶς κειρόμενον πρὸς τοὺς κείροντας ἔφη· „εἰ μὲν ἔρια ζητεῖτε, ἀνωτέρω τέμνετε· εἰ δὲ κρέως ἐπιθυμεῖτε, ἅπαξ με καταθύσατε, τοῦ κατὰ μικρὸν βασανίζειν ἀπαλλάξαντες.“

Πρὸς τοὺς ἀφυῶς ταῖς τέχναις προσφερομένους ὁ λόγος εὔκαιρος.

382ᵇ. *Ἄλλως. Χήρα καὶ Πρόβατον.* (C. 288. B. 51.)

Ἐν τόπῳ τινὶ χήρα τις εἶχε πρόβατον. Τούτου δὲ τὸν πόκον λαβεῖν θέλουσα, ἔκειρεν ἀτέχνως, σὺν τῷ μαλλῷ καὶ τὴν σάρκα ψαλίζουσα. Τὸ δὲ πρόβατον ἀλγοῦν ἔλεγε· „τί με βλάπτεις; πόσην γὰρ ὁλκὴν τὸ ἐμὸν αἷμα προσθήσει; Καὶ εἰ μὲν κρεῶν, ὦ δέσποινα, χρήζεις, μάγειρος ἔστιν, ὅς μὲ συντόμως θύσει· εἰ δ' ἐρίου καὶ πόκου, κουρεὺς ἔστι πάλιν, ὅς καὶ κερεῖ με καὶ σώσει.“

Οἱ ἀπειρίαν πράγματός τινος ἔχοντες καὶ διὰ πλεονεξίαν τοῦτο μεταχειριζόμενοι οὐ τοσοῦτον κέρδος, ὅσην βλάβην καρποῦνται.

383. *Προμηθεὺς καὶ Ἄνθρωποι.* (C. 274. F. 320.)

Προμηθεὺς κατὰ πρόσταξιν τοῦ Διὸς ἀνθρώπους ἔπλασε καὶ θηρία. Ὁ δὲ Ζεὺς θεασάμενος πολλῷ πλείονα τὰ ἄλογα ζῷα, ἐκέλευσεν αὐτὸν τῶν θηρίων τινὰ διαφθείραντα ἀνθρώπους μετατυπῶσαι. Τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος, συνέβη τοὺς ἐκ τούτων πλα-

σθέντας τὴν μὲν μορφὴν ἀνθρώπων ἔχειν, τὰς δὲ ψυχὰς θηριώδεις.

Ἔλεγχον ὁ μῦθος ἔχει πρὸς ἄνδρας θηριώδεις καὶ ὀργίλους.

384. Ῥόδον καὶ Ἀμάραντον. (C. 275. F. 321.)

Ῥόδῳ παραφυὲν ἀμάραντον ἔφη πρὸς αὐτό· „οἷον ἄνθος εὐπρεπὲς εἶ, ποθητὸν καὶ θεοῖς καὶ ἀνθρώποις· μακαρίζω σε τοῦ κάλλους καὶ τῆς εὐωδίας.“ Τὸ δὲ εἶπεν· „ἐγὼ μὲν, ὦ ἀμάραντον, πρὸς ὀλίγον καιρὸν ζῶ, καὶ, κἂν μηδεὶς κόψῃ με, τήκομαι· σὺ δὲ ἀνθεῖς ἀεὶ, καὶ ζῇς οὕτω νέον.“

Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν, ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυστυχοῦς τυχεῖν ἢ καὶ ἀποθανεῖν.

385. Ῥοιὰ καὶ Μηλέα καὶ Βάτος.
(S. 209. C. 50 et p. 307. F. 176.)

Ῥοιὰ καὶ μηλέα περὶ εὐκαρπίας ἤριζον· πολλοῦ δὲ τοῦ νείκους ἀναφθέντος, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· „ἀλλ', ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι.“

Οὕτω παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνταί τινες εἶναι.

386. Σαλπιγκτής. (C. 142 et p. 340. F. 81.)

Σαλπιγκτὴς, στρατὸν ἐπισυνάγων καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων, ἐβόα· „μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην· οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι.“ Οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· „διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.“

Ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

387. Σάτυρος καὶ Πῦρ.

(C. 340. F. 398. ex Plut. de capienda ex inimicis utilit. c. 2.)

Τοῦ Σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν, ὁ Προμηθεύς·

„Τράγος γένειον ἄρα πενθήσεις σύ γε·“

καίει τὸν ἁψάμενον, ἀλλὰ φῶς παρέχει καὶ θερμότητα, καὶ τέχνης ἁπάσης ὄργανόν ἐστι τοῖς χρῆσθαι μαθοῦσιν.

388. Σαύρα. (B. 41.)

Διαῤῥαγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην σαύραν.
Βλάψεις σεαυτὸν κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τόν σε λίαν ὑπερέχοντα μιμήσῃ.

389. Σελήνη καὶ Μήτηρ.

(C. 325. F. 396. ex Plut. VII Sap. Conv. c. 14.)

Σελήνη ποτὲ ἐδεῖτο τῆς ἑαυτῆς μητρὸς, ὅπως αὐτῇ χιτώνιον ὑφάνῃ σύμμετρον. Ἡ δ' εἶπεν· „καὶ πῶς σύμμετρον ὑφήνω; νῦν μὲν γὰρ ὁρῶ σε πανσέληνον, αὖθις δὲ μηνοειδῆ, ποτὲ δ' ἀμφίκυρτον.“

Οὕτω καὶ πρὸς ἄνθρωπον ἀνόητον καὶ φαῦλον οὐδέν ἐστι μέτρον οὐσίας· ἄλλοτε γὰρ ἄλλος ἐστὶ ταῖς χρείαις διὰ τὰς ἐπιθυμίας καὶ τὰς τύχας.

390. Σκύλακες δύο.

(Plut. Apophth. Lacon. p. 225 F. Cf. Cor. 394.)

Λυκοῦργος ὁ νομοθέτης βουλόμενος ἐκ τῆς προϋπαρχούσης διαίτης τοὺς πολίτας εἰς σωφρονεστέραν

βίου τάξιν μετάγειν, καὶ καλοκαγαθικοὺς ἀπεργάζεσθαι (ἁβροδίαιτοι γὰρ ἦσαν), δύο σκύλακας ἀνέθρεψε τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γενομένους· καὶ τὸν μὲν εἴθισε περὶ λιχνείας, οἴκοι ἐάσας· τὸν δὲ ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια. Ἔπειτα ἀγαγὼν εἰς τὴν ἐκκλησίαν, ἔθηκε λεκάνας καὶ λιχνείας τινάς, ἀφῆκε δὲ καὶ λαγών· ἐπὶ τὰ συνήθη δ' ἑκατέρου ὁρμήσαντος, καὶ θατέρου τὸν λαγὼν χειρωσαμένου, εἶπεν· „ὁρᾶτε, ὦ πολῖται, ὅτι ταὐτοῦ γένους ὑπάρχοντες, ἐν τῇ τοῦ βίου ἀγωγῇ παρὰ πολὺ ἀλλήλων διάφοροι ἀπέβησαν, καὶ ποιητικωτέρα τῆς φύσεως ἡ ἄσκησις πρὸς τὰ καλὰ τυγχάνει." Τινὲς δέ φασιν, ὡς οὐ παρῆγε σκύλακας, οἳ ἐκ τῶν αὐτῶν γεγονότες ἐτύγχανον, ἀλλ' ὁ μὲν ἐξ οἰκουρῶν, ἕτερος δὲ κυνηγετῶν· κἄπειτα τὸν μὲν ἐκ τοῦ χείρονος γένους πρὸς τὰ κυνηγέσια ἤσκησε, τὸν δὲ ἐκ τοῦ ἀμείνονος περὶ λιχνείας μόνον ἤσκησεν· εἶθ' ἑκατέρου ἐφ' ἃ εἴθιστο ὁρμήσαντος, φανερὸν ποιήσας, ὅσον ἡ ἀγωγὴ πρὸς τὰ ἀμείνω καὶ χείρω συλλαμβάνεται, εἶπεν· „οὐκοῦν καὶ ἡμᾶς, ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια καὶ τὸ ἀφ' Ἡρακλέους εἶναι ὀνίνησιν, εἰ μὴ πράττομεν, δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέστερος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνοντες καλὰ δι' ὅλου τοῦ βίου."

391. *Στρουθοκάμηλος.* (C. 351.)

Πᾶσιν πεφύκει θηρσὶ καὶ πτηνοῖς μάχη·
ἦλω Λίβυσσα στρουθός, ἣ τούσδ' ἐπλάνα,
εἶναι μὲν ὄρνις, ἐκ μέσου δὲ θηρίον,
πτηνοῖς κάραν δεικνῦσα, τοῖς θηρσὶν πόδας.

Πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας καὶ πλανῶντας ἀμφοτέρους.

392. *Σφῆκες καὶ Πέρδικες καὶ Γεωργός.* (C. 52 et p. 307. F. 178. S. 211.)

Σφῆκες καὶ πέρδικες, δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον, παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν· οἱ μὲν πέρδικες, σκάπτειν τὰς ἀμπέλους· οἱ δὲ σφῆκες, κύκλῳ περιιόντες τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. Ὁ δὲ γεωργὸς ἔφη· „ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι πάντα ποιοῦσιν· ἄμεινον οὖν ἐστιν ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.“

Ὁ μῦθος πρὸς ἄνδρας ἐξώλεις, ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

393. *Σφὴξ καὶ Ὄφις.* (F. 179. C. 276 et p. 396. S. 212.)

Σφήξ ποτε ἐπὶ κεφαλὴν ὄφεως καθίσας καὶ συνεχῶς τοῖς κέντροις πλήσσων, ἐχείμαζεν. Ὁ δὲ περιώδυνος γενόμενος καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνασθαι καὶ ἀποσοβῆσαι, ὡς ἐθεάσατο ἅμαξαν μεστὴν ξύλων, ἀμηχανῶν τὴν κεφαλὴν τῷ τροχῷ ὑπέθηκε, φάσκων· „συντελευτῶ κἀγὼ τῷ ἐχθρῷ μου.“ Καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν.

Ὁ λόγος δηλοῖ, ὅτι τινὲς τοῖς ἐχθροῖς αἱροῦνται συναποθνήσκειν.

394. *Ταῦροι τρεῖς καὶ Λέων.* (C. p. 401 et 193. F. 333. B. 44.)

Ἐνέμοντο τρεῖς μετ' ἀλλήλων βόες. Λέων δὲ τούτους φαγεῖν θέλων, διὰ τὴν ὁμόνοιαν ἐδειλία· αἱμύλοις δὲ λόγοις τούτους διαχωρίσας, μεμονωμένους, τούτων ἕνα καθ' ἕνα εὑρών, ἀδεῶς ἤσθιεν.

394^{b}. *Ἄλλως.* (C. 296. F. 207.)

Ταῦροι τρεῖς τὴν αὐτὴν δίαιταν ἐπεποίηντο. Λέων δέ τις αὐτοῖς παρηκολούθει θηρᾶσαι βουλόμενος· καὶ

συνόντας μὲν ἑλεῖν οὐκ ἐδύνατο, διαστάντας δὲ προηρεῖτο χειρώσασθαι. Καὶ συγκρούσας ἀλλήλοις, ἐν μέρει διαστήσας ἀπέκρινε, καὶ καθ' ἕκαστον προχειρότερον ἔφθειρεν, οὓς κοινῇ συνόντας ἠπόρει χειρώσασθαι.

Οὕτως ὁμόνοια τοῖς χρωμένοις σωτήριον.

395. *Ταῦρος, Λέαινα καὶ Σύαγρος.* (C. 373. F. 332.)

Ταῦρος εὑρηκὼς κοιμώμενον λέοντα, τοῦτον κερατίσας ἀπέκτεινεν· ἐπιστᾶσα δὲ ἡ ἐκείνου μήτηρ, πικρῶς αὐτὸν ἀπεκλαίετο. Ἰδὼν δὲ αὐτὴν σύαγρος ὀλοφυρομένην, μακρόθεν ἑστὼς ἔφη πρὸς αὐτήν· „ὢ πόσοι ἄρα τυγχάνουσιν ἄνθρωποι θρηνοῦντες, ὧν τὰ τέκνα ὑμεῖς ἀπεκτείνατε."

Ὁ λόγος δηλοῖ, ὅτι ἐν ᾧ μέτρῳ μετρεῖ τις, μετρηθήσεται αὐτῷ.

396. *Ταῦρος καὶ Τράγος.* (C. 277. B. 91.)

Λέοντα φεύγων ταῦρος εἰσῆλθεν εἰς σπήλαιον· τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει. Ὁ δ' εἶπεν· „οὐ σὲ, ἀλλὰ τὸν λέοντα φοβοῦμαι· ἐπεὶ παρελθέτω τὸ θηρίον, καὶ τότε γνώσῃ, τίς ἡ δύναμις ταύρου καὶ τράγου."

Ὅτι πολλάκις καὶ δυνατοὺς ἄνδρας αἱ συμφοραὶ ταπεινοῦσιν, ὥστε τὰς ἐξ εὐτελῶν καὶ δειλῶν ὑπομένειν αἰκίας.

396b. *Ἄλλως. Ταῦρος καὶ Αἶγες ἄγριαι.*
(S. 214. C. 382. F. 181.)

Ταῦρος διωκόμενος ὑπὸ λέοντος κατέφυγεν εἰς σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες ἄγριαι· τυπτόμενος δὲ ὑπ' αὐτῶν ὁ ταῦρος καὶ κερατιζόμενος ἔφη· „οὐχ ὑμᾶς φοβούμενος ἀνέχομαι, ἀλλὰ τὸν πρὸ τοῦ σπηλαίου ἑστῶτα."

Οὕτω πολλοὶ διὰ φόβον τῶν κρειττόνων τὰς ἐκ τῶν ἡττόνων ὕβρεις ὑπομένουσιν.

397. *Ταὼς καὶ γέρανος.* (C. 357 et p. 408. F. 376. B. 65.)

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος, σκώπτουσα τὴν χροιὰν τῆς γεράνου. Ἡ δ' ἔφη· „ἀλλ' ἐγὼ ἄστρων ἐγγὺς ἵπταμαι καὶ φωνῶ· σὺ δὲ, ὡς ἀλέκτωρ, χαμαὶ πτερύσσῃ οὐδ' ἄνω φαίνῃ.“

397[b]. *Ἄλλως.* (S. 219.)

Ταὼν γεράνου κατεγέλα, κωμῳδῶν τὴν χροιὰν αὐτοῦ καὶ λέγων ὡς „ἐγὼ μὲν χρυσὸν καὶ πορφύραν ἐνδέδυμαι, σὺ δὲ οὐδὲν καλὸν φέρεις ἐν πτεροῖς.“ Ὁ δὲ „ἀλλ' ἐγὼ“ ἔφη „τῶν ἀστέρων ἔγγιστα φωνῶ, καὶ εἰς τὰ οὐράνια ὕψη ἵπταμαι· σὺ δὲ, ὡς ἀλέκτωρ, κάτω μετ' ὀρνίθων βαίνεις.“

Ὅτι κρεῖττον περίβλεπτον εἶναί τινα ἐν πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ἀδόξως ἐν πλούτῳ γαυρούμενον.

398. *Ταὼς καὶ Κολοιός.* (S. 216. C. 53 et p. 308. F. 183.)

Τῶν ὀρνέων βουλευσαμένων περὶ βασιλείας, ταὼς ἠξίου ἑαυτὸν χειροτονεῖσθαι βασιλέα διὰ τὸ κάλλος· ὁρμωμένων δὲ ἐπὶ τοῦτο τῶν ὀρνέων, κολοιὸς εἶπεν· „ἀλλ' ἐὰν σοῦ βασιλεύοντος ὁ ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις;“

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

399. *Τέττιγες.* (C. 389. ex Plat. Phaedro p. 259.)

Λέγεται, ὡς οἱ τέττιγές ποτ' ἦσαν ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι. Γενομένων δὲ Μουσῶν καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ

ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὑτούς. Ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβὸν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ.

400. Τέττιξ καὶ Ἀλώπηξ. (C. 278. F. 322.)

Τέττιξ ἐπί τινος ὑψηλοῦ δένδρου ᾖδεν. Ἀλώπηξ δὲ βουλομένη αὐτὸν καταφαγεῖν, τοιοῦτον ἐπενόησεν. Ἄντικρυς στᾶσα ἐθαύμαζεν αὐτοῦ τὴν εὐφωνίαν, καὶ παρεκάλει καταβῆναι λέγουσα, ὅτι ἐπεθύμει θεάσασθαι, πηλίκον ζῶον τηλικαῦτα φθέγγεται. Κἀκεῖνος ὑπονοήσας ἀπάτην πρὸς τὴν ἀλώπεκα ἔφη· „ἀλλὰ πεπλάνησαι, ὦ αὕτη, εἰ ὑπέλαβές με καταβήσεσθαι· ἐγὼ γὰρ ἀπ' ἐκείνου ἀλώπεκας φυλάττομαι, ἀφ' οὗ ἐν ἀφοδεύματι ἀλώπεκος πτερὰ τέττιγος ἐθεασάμην."

Ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων τῶν πέλας αἱ συμφοραὶ σωφρονίζουσι.

401. Τέττιξ καὶ Μύρμηκες.
(C. 134 et p. 334 sq. F. 195. 198. B. 137.)

Χειμῶνος ὥρᾳ, τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον, τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· „διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν;" Ὁ δὲ εἶπεν· „οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς." Οἱ δὲ γελάσαντες εἶπον· „ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

401ᵇ. Ἄλλως. (C. 134.)

Θέρους ἦν ἀκμή· καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει καὶ συλλέγειν καρποὺς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τρα-

φήσεσθαι. Χειμῶνος δ' ἐπιγεγονότος, οἱ μύρμηκες μὲν οἷς ἐπόνουν ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν.

Οὕτω νεότης, πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

402. Τοῖχος καὶ Πάλος. (F. 377. C. 419.)

Τοῖχος σπαραττόμενος ὑπὸ πάλου βιαίως, ἐφώνει· „τί με σπαράττεις μηδὲν ἠδικηκότα;" Καὶ ὃς „οὐκ ἐγὼ" φησὶν „αἴτιος τούτου, ἀλλ' ὁ ὄπισθεν σφοδρῶς με τύπτων."

403. Τοξότης καὶ Λέων. (C. 279 et p. 397. F. 323. B. 1.)

Ἀνῆλθέ τις εἰς ὄρος τοξικῆς ἔμπειρος κυνηγῆσαι· πάντα δὲ τὰ ζῶα τοῦτον θεασάμενα ἔφυγε, λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν εἰς μάχην. Ὁ δὲ βέλος πέμψας καὶ τὸν λέοντα βαλὼν ἔφη· „δέξαι, καὶ ἴδε τὸν ἐμὸν ἄγγελον, οἷός ἐστι, καὶ τότε κἀγὼ ἐπέρχομαί σοι." Ὁ δὲ λέων βληθεὶς ὥρμησε φεύγειν. Ἀλώπεκος δὲ τούτῳ θαῤῥεῖν καὶ μὴ φεύγειν λεγούσης, ὁ λέων ἔφη· „ὦ αὕτη, οὐδαμῶς με πλανήσεις· ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, ἐὰν αὐτὸς ἐπέλθῃ, οὐκ ἂν ὑποίσω."

Ὁ μῦθος δηλοῖ, μηδαμῶς πλησιάζειν τοὺς πόῤῥωθεν χαλεπὰ πράττοντας.

404. Τράγος καὶ Ἄμπελος. (C. 280.)

Τράγος ἐν τῇ ἐκβολῇ τῆς ἀμπέλου τὴν βλάστην ἔτρωγε. Τούτῳ δὲ προσεῖπεν ἡ ἄμπελος· „τί με βλάπτεις; μὴ οὐκ ἔστι χλόη; ὅμως ὅσον σοῦ θυομένου οἶνον χρῄζουσιν, ἐγὼ παρέξω."

Τοὺς ἀχαρίστους καὶ βουλομένους τοὺς φίλους πλεονεκτεῖν ἐλέγχει ὁ λόγος.

404b. *Ἄλλως.* (C. 280. F. 220.)

Ἄμπελος ἐκόμα βότρυσι, παραπλήσιον δὲ ἦν τοῖς καρποῖς καὶ τὸ βλάστημα. Τράγος δέ τις ὕβρει χρώμενος πλείονι, τῆς ἀμπέλου παρέτρωγε, καὶ διελυμαίνετο προσιὼν τοῖς βλαστήμασιν. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· „μένει σε τῆς ὕβρεως δίκη· σὺ μὲν γὰρ ἔσῃ μικρὸν ὕστερον ἱερεῖον τοῖς θύμασιν, ἐγὼ δὲ παρ' ἐμαυτῆς ἐπισπείσω τὸν οἶνον."

Ἃ δρᾷ τις, καὶ πείσεται.

405. *Ὕαινα καὶ Ἀλώπηξ.* (C. 281. F. 324.)

Τὰς ὑαίνας φασὶ, παρ' ἐνιαυτὸν ἀλλασσομένης αὐτῶν τῆς φύσεως, ποτὲ μὲν ἄρσενας, ποτὲ δὲ θηλείας γίνεσθαι. Καὶ δὴ ὕαινα θεασαμένη ἀλώπεκα ἐμέμφετο αὐτὴν, ὅτι φίλην θέλουσαν αὐτῇ γενέσθαι οὐ προσίεται. Κἀκείνη ὑποτυχοῦσα εἶπεν· „ἀλλ' ἐμὲ μὴ μέμφου, τὴν δὲ σὴν φύσιν, δι' ἣν ἀγνοῶ, πότερον ὡς φίλῃ ἢ ὡς φίλῳ σοι χρήσωμαι."

Πρὸς ἄνδρα ἀμφίβολον.

406. *Ὕαιναι.* (C. 282. F. 325.)

Τὰς ὑαίνας φασὶ παρ' ἐνιαυτὸν ἀλλάττειν τὴν φύσιν, καὶ ποτὲ μὲν ἄῤῥενας γίνεσθαι, ποτὲ δὲ θηλείας. Καὶ δή ποτε ἄρσην ὕαινα θηλείᾳ παρὰ φύσιν διελέχθη· ἡ δὲ ὑποτυχοῦσα ἔφη· „ἀλλ', ὦ οὗτος, μὴ ταῦτα πρᾶττε, ὡς ἐγγὺς τὰ αὐτὰ πεισόμενος."

Πρὸς ἄρχοντας λογοθετοῦντας τοὺς ὑπ' αὐτοὺς, καὶ πάλιν ἐκ τοῦ συμβεβηκότος αὐτοὺς ὑπ' ἐκείνων λογοθετουμένους.

407. *Ὗς ἄγριος καὶ Ἀλώπηξ.* (S. 222. C. 54 et p. 309. F. 185.)

Ὗς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα. Ἀλώπεκος δὲ αὐτὸν ἐρωτώσης τὴν αἰτίαν, διὰ

τί μήτε κυνηγοῦ μήτε κινδύνου ἐνεστῶτος τοὺς ὀδόντας θήγει, ἔφη· „ἀλλ᾽ οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾶν ἀσχολήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι.“

Ὁ λόγος διδάσκει, ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖσθαι.

408. Ὗς καὶ Κύων. (C. 68. F. 230. S. 220.)

Ὗς καὶ κύων ἀλλήλοις διελοιδοροῦντο. Καὶ ἡ μὲν ὗς ὤμνυε κατὰ τῆς Ἀφροδίτης, ἦ μὴν τοῖς ὀδοῦσιν ἀναῤῥήξειν τὴν κύνα. Ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· „καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις· δηλοῖς γὰρ ὑπ᾽ αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι, ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον οὐδ᾽ ὅλως εἰς ἱερὸν προσίεται.“ Καὶ ἡ ὗς· „διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με· τὸν γὰρ κτείναντα ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται· σὺ μέντοι κακῶς ὄζεις, καὶ ζῶσα καὶ τεθνηκυῖα.“

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ἀπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

408ᵇ. Ἄλλως. (S. 220.)

Ὗς καὶ κύων πρὸς ἀλλήλους διεφέροντο. Τῆς δὲ ὑὸς ὀμνυούσης τὴν Ἀφροδίτην, ἐὰν μὴ παύσηται, τοῖς ὀδοῦσιν ἀνατεμεῖν, ἡ κύων ἔλεγε, καὶ κατ᾽ αὐτὸ τοῦτο ἀγνωμονεῖν, εἴγε Ἀφροδίτη μισεῖ, ὥστε ἐὰν φάγῃ τις κρέας ὑὸς, τοῦτον οὐκ ἐᾶν εἰς τὸ ἱερὸν αὐτῆς εἰσιέναι. Καὶ ἡ ὗς ὑποτυχοῦσα ἔφη· „ἀλλὰ τοῦτο οὐ στυγοῦσα ποιεῖ, ἀλλὰ προνοουμένη, ἵνα μή τίς με θύσῃ.“

Οὕτως οἱ φρόνιμοι τῶν ῥητόρων πολλάκις τὰ ὑπὸ τῶν ἐχθρῶν φερόμενα ὀνείδη εἰς ἐπαίνους μετασχηματίζουσιν.

409. *Ὗς καὶ Κύων.* (C. 69.)

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον· ἔφη δ' ἡ κύων, εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζώων. Καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτα φησίν· „ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

409b. *Ἄλλως.* (S. 221. C. 69 et p. 315. F. 186.)

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Τῆς δὲ κυνὸς εἰπούσης, ὅτι μόνη τῶν τετραπόδων ταχέως κύει, ἡ ὗς ὑποτυχοῦσα ἔφη· „ἀλλ', ὅταν τοῦτο λέγῃς, γίνωσκε, ὅτι τυφλὰ τίκτεις."

Ὁ λόγος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνονται.

410. *Φαλακρὸς ἱππεύς.* (C. 283, F. 326.)

Φαλακρός τις, ξένας τρίχας τῇ ἑαυτοῦ περιθεὶς κεφαλῇ, ἵππευεν. Ἄνεμος δὲ φυσήσας ἀφεῖλε ταύτας· γέλως δὲ πλατὺς τοὺς παρεστῶτας εἶχε. Κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· „τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον;"

Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφοραῖς ἐπελθούσαις αὐτῷ· ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει· γυμνοὶ γὰρ ἤλθομεν οἱ πάντες, γυμνοὶ οὖν ἀπελευσόμεθα.

411. *Φθεῖρες καὶ Γεωργός.*
(C. 327. F. 386. ex App. B. Civ. I, 101.)

Φθεῖρες γεωργὸν ἀροτριῶντα ὑπέδακνον· ὁ δὲ δὶς μὲν τὸ ἄροτρον μεθεὶς τὸν χιτωνίσκον ἐκάθηρεν. Ὡς

δ' αὖθις ἐδάκνετο, ἵνα μὴ πολλάκις ἀργοίη, τὸν χιτωνίσκον ἔκαυσεν.

Κἀγὼ τοῖς δὶς ἡττημένοις παραινῶ, τρίτου πυρὸς μὴ δεηθῆναι.

412. Φιλάργυρος. (C. 59.)

Φιλάργυρός τις, ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν· καὶ καθ' ἡμέραν ἐρχόμενος αὐτὸν ἔβλεπε. Τῶν δὲ ἐργατῶν τις αὐτὸν παρατηρήσας καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο καὶ τίλλειν τὰς τρίχας. Τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν καὶ τὴν αἰτίαν πυθόμενος, „μὴ οὕτως" εἶπεν „ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ, ἔχων τὸν χρυσὸν, εἶχες. Λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. Τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν· ὡς ὁρῶ γὰρ, οὐδ', ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

412b. Ἄλλως. (F. 188. C. p. 311. S. 223.)

Φιλάργυρός τις τὴν οὐσίαν ἐξαργυρισάμενος, βῶλον χρυσοῦν ὠνήσατο, καὶ τοῦτον πρὸ τοῦ τείχους κατορύξας, διετέλει συνεχῶς ἐρχόμενος καὶ ἐπισκεπτόμενος. Τῶν δὲ περὶ τὸν τόπον ἐργατῶν τις παρατηρησάμενος αὐτοῦ τὰς ἀφίξεις, ὑπενόησε τὸ ἀληθές· ἀπαλλαγέντος οὖν αὐτοῦ τὸ χρυσίον ἀφείλετο. Ὁ δὲ ὡς ἐπανελθὼν εὗρε τὸν τόπον κενὸν, ἔκλαιε καὶ τὰς τρίχας ἔτιλλεν. Ἰδὼν δέ τις αὐτὸν ὑπερπαθοῦντα καὶ τὴν αἰτίαν μαθὼν, ἔφη πρὸς αὐτόν· „μὴ λυποῦ, ἀλλὰ λαβὼν

λίθον ἐν τῷ αὐτῷ τόπῳ κατάθες, καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι· οὐδὲ γάρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ."

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδέν ἐστιν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις παρῇ.

413. *Χαλκεὺς καὶ Κυνάριον.* (F. 82. C. 284 et p. 397.)

Ἦν τις χαλκεὺς κυνάριον ἔχων. Τούτου χαλκεύοντος, τὸ κυνάριον ἐκοιμᾶτο· καὶ αὖ πάλιν ἐσθίοντος, ἐγρηγόρει. Οὗτος ἐπέῤῥιψεν ὀστοῦν ταῦτα λαλῶν· „ὦ ταλαίπωρον κυνάριον ὑπνῶδες, τί σοι ποιήσω ὄκνῳ κατεχομένῳ; ὅτε μὲν γὰρ τὸ ἀκμόνιόν μου προσκρούσω, ἐπανακλίνεις σεαυτὸν ἐπὶ κραββάτου· ὅτε δὲ πάλιν τοὺς ὀδόντας κινήσω, εὐθὺς ἐγείρῃ καὶ τὴν κέρκον μοι σείεις."

Ὁ μῦθος οὗτος τοὺς ὑπνώδεις καὶ ἀργώδεις καὶ εἰς ἀλλοτρίων πόνους ἀποβλέποντας ἐλέγχει.

414. *Χειμὼν καὶ Ἔαρ.* (F. 380. C. 422.)

Χειμὼν ἔσκωψε εἰς τὸ ἔαρ, καὶ αὐτὸ ὠνείδισεν, ὅτι εὐθὺς φανέντος ἡσυχίαν ἄγει ἔτι οὐδείς, ἀλλ' ὁ μέν τις ἐπὶ λειμῶνας καὶ ἄλση γίνεται, ὅτῳ ἄρα φίλον δρέπεσθαι ἀνθέων καὶ κρίνων, ἢ καὶ ῥόδον τι, περιαγαγεῖν τε τοῖς ἑαυτοῦ ὄμμασιν, καὶ παραθέσθαι [ἢ] παρὰ τὴν κόμην· ὁ δὲ ἐπιβὰς νεὼς καὶ διαβαίνων πέλαγος, ἢν τύχῃ, παρ' ἄλλους ἤδη ἀνθρώπους ἔρχεται· καὶ ὅτι ἅπαντες ἀνέμων ἢ πολλοῦ ἐξ ὄμβρων ὕδατος ἔχουσι φροντίδα οὐκέτι. „Ἐγὼ δ'" ἔφη „ἄρχοντι καὶ αὐτοδεσπότῃ ἔοικα, καὶ οὐδὲ εἰς οὐρανὸν, ἀλλὰ κάτω που καὶ εἰς τὴν γῆν ἐπιτάττω βλέπειν, καὶ δεδιέναι καὶ τρέμειν, καὶ ἀγαπητῶς διημερεύειν ἔστιν ὅτε οἴκοι ἠνάγκασα." „Τοιγαροῦν" ἔφη τὸ ἔαρ „σοῦ μὲν καὶ ἀπαλλαγεῖεν ἂν ἄνθρωποι ἀσμένως· ἐμοῦ δὲ αὐτοῖς καλὸν καὶ αὐτὸ εἶναι δοκεῖ τοὔνομα, καὶ νὴ μὰ Δία γε ὀνομά-

των κάλλιστον, ὥστε καὶ ἀπόντος μέμνηνται καὶ φανέντος ἐπαγάλλονται."

415. *Χελιδὼν καὶ Κορώνη.* (S. 228. C. 76 et p. 316. F. 192.)

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν· ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὸν εἶπεν· „ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται."

Ὁ λόγος δηλοῖ, ὅτι ἡ τοῦ σώματος παράτασις εὐπρεπείας καλλίων.

416. *Χελιδὼν καὶ Κορώνη.* (F. 381. C. 423.)

Χελιδὼν ἔφη πρὸς τὴν κορώνην· „ἐγὼ παρθένος καὶ Ἀθηναία καὶ βασίλισσα καὶ βασιλέως τῶν Ἀθηνῶν θυγάτηρ·" προσέθηκε δὲ καὶ τοῦ Τηρέως τὴν βίαν, καὶ τὴν ἀποκοπὴν τῆς γλώττης. Καὶ ἡ κορώνη ἔφη· „τί ἂν ἐποίησας, εἰ τὴν γλῶτταν εἶχες, ὅπου τμηθείσης τοσαῦτα λαλεῖς;"

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες ψευδολογοῦντες ἑαυτοῖς ἔλεγχος καθίστανται.

416ᵇ. *Ἄλλως. Χελιδόνες καὶ Κύκνοι.* (C. 336. F. 408.)

Ἐπέσκωπτον αἱ χελιδόνες τῶν κύκνων τὸ μὴ ἐθέλειν ὁμιλεῖν τοῖς ἀνθρώποις, μηδὲ δημοσιεύειν τὴν μουσικὴν, ἀλλ' ἀμφὶ τοὺς λειμῶνας διάγειν καὶ τοὺς ποταμοὺς, καὶ τὴν ἐρημίαν ἀσπάζεσθαι, καὶ βραχέα μὲν ᾄδειν, ἃ δὲ καὶ ᾄδοιεν, ᾄδειν ἐν σφίσιν αὐτοῖς, ὥσπερ αἰσχυνομένους τὴν μουσικήν. „Ἡμῶν δὲ" ἔφασαν „εἰσὶν αἱ πόλεις καὶ οἱ ἄνθρωποι καὶ οἱ θάλαμοι, καὶ περιλαλοῦμεν τοῖς ἀνθρώποις, καὶ τὰ ἡμέτερα αὐτοῖς διηγούμεθα, ταῦτα δὴ [ταῦτα] τὰ ἀρχαῖα καὶ Ἀττικὰ, τὸν Πανδίονα, τὰς Ἀθήνας, τὸν Τηρέα, τὴν Θρᾴκην, τὴν ἀποδημίαν, τὸ κῆδος, τὴν ὕβριν, τὴν

ἐκτομὴν τῆς γλώττης, τὰ γράμματα, καὶ ἐπὶ πᾶσι τὸν Ἴτυν, καὶ ὡς ἐγενόμεθα ἐξ ἀνθρώπων ὄρνιθες.“ Οἱ δὲ μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου, τῆς ἀδολεσχίας μισήσαντες· ἐπεὶ δὲ ἠξίωσαν· „ἀλλ' ἡμῶν μὲν ἕνεκεν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις, ὥστε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον· ὥστ' εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν, ἀλλ' αὐτὸ δὴ τοῦτο κάλλιστόν ἐστιν ἡμῶν, ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος, καὶ οὐκ ἀναμίγνυμεν θορύβοις τὴν μουσικήν. Ὑμᾶς δὲ καὶ εἰσοικιζομένας οἱ ἄνθρωποι δυσχεραίνουσι, καὶ ᾀδούσας ἀποστρέφονται, καὶ μάλα ἐν δίκῃ, αἵγε οὐδὲ ἐκτμηθεῖσαι τὴν γλῶτταν δύνασθε σιωπᾶν, ἀλλ' αὐταὶ τὴν ἀφωνίαν ὑμῶν ὀδυρόμεναι καὶ τὸ ἐφ' ὑμῖν πάθος, ἔπειτά ἐστε λαλίστεραι τίνος οὐχὶ τῶν εὐγλώττων καὶ μουσικῶν;“

417. *Χελιδὼν καὶ Ὄρνιθες.* (S. 39.)

Ἄρτι τοῦ ἰξοῦ φυομένου ἡ χελιδὼν αἰσθομένη τὸν ἐνιστάμενον τοῖς πτηνοῖς κίνδυνον, συναθροίσασα πάντα τὰ ὄρνεα, συνεβούλευεν αὐτοῖς μάλιστα μὲν ταῖς ἰξοφόροις δρυσὶν (τὸν ἰξὸν) ἐκκόψαι, εἰ δ' ἄρα τοῦτο αὐτοῖς ἀδύνατον, ἐπὶ τοὺς ἀνθρώπους καταφυγεῖν, καὶ τούτους ἱκετεῦσαι, ὅπως μὴ χρησάμενοι τῇ τοῦ ἰξοῦ ἐνεργείᾳ συλλαμβάνωσιν αὐτά. Τῶν δὲ ἐγκαλεσάντων αὐτῇ ὡς ματαιολογούσῃ, αὕτη παραγενομένη ἱκέτις τῶν ἀνθρώπων ἐγένετο· οἱ δ' ἀποδεξάμενοι αὐτὴν ἐπὶ τῇ συνέσει, καὶ σύνοικον αὐτοῖς προσλαβόμενοι, οὕτω συνέβη, τὰ λοιπὰ ὄρνεα ὑπὸ τῶν ἀνθρώπων κατεσθίεσθαι, μόνην δὲ τὴν χελιδόνα ὡς πρόσφυγον καὶ ἐν ταῖς αὐτῶν οἰκίαις ἀδεῶς νεοττοποιεῖσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τὰ μέλλοντα προορώμενοι εἰκότως τοὺς κινδύνους διακρούονται.

417[b]. *Ἄλλως.* (C. 285. F. 327.)

Χελιδὼν, ἐκκλησίαν τῶν ὀρνέων συναθροίσασα, παρῄνει φάσκουσα κράτιστον εἶναι, τὸ μὴ προσκόπτειν ἀνθρώποις, ἀλλὰ φιλίαν συνθεμένους οἰκείως διακεῖσθαι πρὸς αὐτούς. Τῶν δὲ ὀρνέων τις τὰ ἐναντία τῇ χελιδόνι ἔλεγεν· „ἀλλὰ τὸ σπέρμα τοῦ λίνου μᾶλλον κατεσθίοντες ἀναλίσκωμεν καὶ ἀφανὲς ποιῶμεν, ἵνα μηκέτι ἔχωσι πλέκειν δίκτυα καθ' ἡμῶν.“ Ἡ μὲν οὖν χελιδὼν, ἀρίστην γνώμην ἔχουσα, ἀκίνδυνος ἐγένετο, ἐν ταῖς πόλεσι διατρίβουσα, καὶ ἐν ταῖς οἰκίαις τίκτουσα παρ' ἀνθρώποις, οὐδὲν ὑπ' αὐτῶν πάσχει κακόν. Τὰ δὲ λοιπὰ ὄρνεα, ὡς μᾶλλον ὑπομείναντα κατεσθίειν τὸ σπέρμα, ὡς πάντων ὄντος κακῶν αἰτίου, συμβαίνει λιπαρὰ γίνεσθαι, καὶ μάλα δικαίως ὑπὸ ἀνθρώπων συλλαμβανόμενα δαπανᾶσθαι· οὕτως τε ταύτην τὴν κακογνωμοσύνην ὑπομείναντα, μετενόησε μὴ μετ' ἀνθρώπων μένειν, ἀλλ' ἐν ἀέρι πέτεσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων ὅσοι ἐν τοῖς βιωτικοῖς πράγμασι τῷ τῆς ἀγχινοίας βουλεύματι ἐχρήσαντο, ἀκίνδυνοι διεφυλάχθησαν.

418. *Χελιδὼν καὶ Ὄφις.* (C. 286. B. 118.)

Ξένη χελιδὼν, ἡ τοῖς ἀνθρώποις συνοικοῦσα, ἐν δικαστηρίῳ τὴν ἑαυτῆς ἔπηξε καλιὰν ἐν τοίχῳ, κἀκεῖ γίνεται ἑπτὰ νεοττῶν μήτηρ. Ὄφις δὲ ἐκ τρώγλης συρεὶς τοὺς αὐτῆς κατέφαγε νεοττούς. Ἡ δὲ χελιδὼν θρηνοῦσα ἐκεκράγει· „οἴμοι τῇ ξένῃ, ὅτι ἔνθα πάντες δικαιοῦνται, μόνη ἔγωγε ἠδίκημαι.“

418[b]. *Ἄλλως.* (S. 225. C. p. 398. F. 190.)

Χελιδὼν ἔν τινι δικαστηρίῳ νεοττοποιησαμένη ἐξέπτη· ὄφις δὲ προσερπύσας κατέφαγεν αὐτῆς τοὺς νεοτ-

τούς. Ἡ δὲ ἐπανελθοῦσα καὶ τὴν καλιὰν κενὴν εὑροῦσα, ὑπερπαθοῦσα ἔστενεν· ἑτέρας δὲ χελιδόνος παρηγορεῖν αὐτὴν βουλομένης, καὶ λεγούσης „μόνον ἄρα σοὶ τὰ τέκνα ἀποβαλεῖν συμβέβηκεν;" ὑποτυχοῦσα ἔφη· „ἀλλ' ἔγωγε οὐ τοσοῦτον ἐπὶ τοῖς τέκνοις κλαίω, ὅσον ὅτι ἐν τούτῳ τῷ τόπῳ ἠδίκημαι, ἐν ᾧ οἱ ἀδικούμενοι βοηθοῦνται."

Ὁ λόγος δηλοῖ, ὅτι χαλεπώτεραι γίνονται τοῖς πάσχουσιν αἱ συμφοραί, ὅταν ὑφ' ὧν ἥκιστα προσεδόκησαν πάσχωσι.

419. *Χελώνη καὶ Ἀετός.*
(C. 61 et p. 312. F. 193. S. 229. B. 118.)

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκών, εἶτ' ἀφῆκεν. Η δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις, τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

420. *Χελώνη καὶ Λαγωός.* (S. 224. C. 287.)

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ τὴν βραδύτητα, οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις φύσιν ἀμελοῦσαν ὁ πόνος ἐνίκησε.

420^{b}. *Ἄλλως.* (C. p. 188 et p. 398. F. 173.)

Ποδῶν χελώνης κατεγέλα λαγωὸς καὶ ἀργίας· ἡ δὲ

ἔφη· „ἐγὼ σὲ τὸν ταχὺν ἐν τοῖς ποσὶ νικήσω.“ Ὁ δέ· „λόγῳ μόνῳ, χελώνη, λέγεις τοῦτο· ἀλλ' ἔριξε καὶ γνώσῃ. Τίς δὲ τὸν τόπον ὁριεῖ καὶ βραβεύσει τὴν νίκην;“ Ἀλώπηξ δ' ἡ δικαία καὶ σοφωτάτη ἔταξεν ὁδὸν τῶν δρόμων τὴν εὐθεῖαν. Ἡ δὲ χελώνη μὴ ῥαθυμήσασα ἤρξατο τῆς ὁδοῦ, πρὸς τὸ αὐτῆς ἀφορῶσα δυσκίνητον. Ὁ δὲ λαγωὸς, θαῤῥῶν τοῖς ποσὶν, ἐκοιμήθη· καὶ ἐλθὼν ἐπὶ τοῦ ὡρισμένου τόπου, εὗρε νικῶσαν τὴν βραδεῖαν χελώνην.

Ὅτι πολλοὶ τῇ μὲν φύσει ἀργοὶ, τῇ δὲ συντομίᾳ τοὺς φύσει ταχεῖς, ῥαθύμους δὲ, νικῶσιν.

421. Χῆνες καὶ Γέρανοι.
(C. 60 et p. 312. F. 191. S. 226. B. 142.)

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι, κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν, οἱ δὲ χῆνες, διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

422. Χύτραι. (C. 290. F. 329.)

Χύτραν ὀστρακίνην καὶ χαλκῆν ποταμὸς κατέφερεν. Ἡ δὲ ὀστρακίνη τῇ χαλκῇ ἔλεγεν· „μακρόθεν μου κολύμβα, καὶ μὴ πλησίον· ἐὰν γάρ μοι σὺ προσψαύσῃς, κατακλῶμαι, κἂν [τε] ἐγὼ μὴ θέλω σοι προσψαῦσαι.“

Ὅτι ἐπισφαλής ἐστι βίος πένητι, δυναστοῦ ἄρχοντος πλησίον παροικοῦντος.

423. Ψιττακὸς καὶ Γαλῆ. (F. 197. C. 291 et p. 399.)

Ψιττακόν τις ἀγοράσας, ἀφῆκεν ἐπὶ τῆς οἰκίας νέμεσθαι· ὁ δὲ τῇ ἡμερότητι χρησάμενος, ἀναπηδήσας

ἐπὶ τὴν ἑστίαν ἐκάθισε, κἀκεῖθεν τερπνὸν ἐκεκράγει. Γαλῆ δὲ θεασαμένη ἐπυνθάνετο αὐτοῦ, τίς ἐστι, καὶ πόθεν ἦλθεν· ὁ δὲ εἶπεν· „ὁ δεσπότης με νεωστὶ ἐπρίατο.“ „Οὐκοῦν, ἰταμώτατε ζώων,“ ἔφη „πρόσφατος ὢν τοσαῦτα βοᾷς, ὅτε ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται, ἀλλ' ἐάν ποτε τοῦτο πράξω, προσαγανακτοῦντες ἀπελαύνουσί με.“ Ὁ δὲ ἀπεκρίνατο λέγων· „οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακράν· οὐ γὰρ ὁμοίως δυσχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ καὶ ἐπὶ τῇ σῇ.“

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα φιλόψογον, ἑτέροις ἀεὶ αἰτίας προσάπτειν ἐπιχειροῦντα.

424. Ψύλλα. (C. 62. F. 230.)

Ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν· ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλομένης, στενάξας εἶπεν· „ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;“

Ὁ μῦθος δηλοῖ μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

424b. Ἄλλως. Ψύλλα καὶ Ἀθλητής. (F. 194. C. p. 313.)

Ψύλλα ποτὲ πηδήσασα, ἐκάθισεν ἐπὶ πόδα ἀνδρὸς ἀθλητοῦ σοβοῦντος, καὶ ἁλλομένη ἐνῆκε δῆγμα. Ὁ δὲ ἀκροχολήσας ηὐτρέπισε τοὺς ὄνυχας, ὅπως συνθλάσῃ ταύτην· ἡ δὲ ἀφ' ὁρμῆς φυσικῆς πήδημα λαβοῦσα, ἀπέδρα, τοῦ θανεῖν ἀπαλλαγεῖσα. Καὶ ὃς στενάξας εἶπεν· „ὦ Ἡράκλεις, διὰ τί ἐπὶ κακοὺς ἀνταγωνιστὰς οὐκ εἶ συνεργός;“

Ὁ λόγος δηλοῖ, ὅτι οὐ δεῖ ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα πράγματα εὐθὺς τοὺς θεοὺς ἐπικαλεῖσθαι, ἀλλ' ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις καὶ συμφοραῖς.

425. *Ψύλλα καὶ Ἄνθρωπος.*
(C. 292 et p. 400. F. 196. S. 231.)

Ψύλλα ποτέ τινι πολλὰ ἠνώχλει· καὶ δὴ συλλαβὼν „τίς εἶ σὺ“ ἀνεβόα, „ὅτι πάντα μου τὰ μέλη κατεβοσκήσω, εἰκῇ καὶ μάτην ἐμὲ καταναλίσκων;“ Ἡ δὲ ἐβόα· „ὦ οὗτος, σῶζέ με, μὴ κτεῖνε· μέγα γὰρ κακὸν οὐ δύναμαι ποιεῖν.“ Ὁ δὲ γελάσας πρὸς αὐτὴν οὕτως ἔφη· „ἄρτι τεθνήξῃ χερσί μου ταῖς ἰδίαις· ἅπαν γὰρ κακὸν, εἴτε μικρὸν εἴτε μέγα, οὐδ᾽ ὅλως πρέπει που φῦναι.“

Ὅτι κακῷ οὐ πρέπει ἐλεηθῆναι, κἂν μέγας ᾖ κἂν μικρός.

426. *Ψύλλα καὶ Βοῦς.* (F. 382. C. 424.)

Ψύλλα δήποτε τὸν βοῦν οὕτως ἠρώτα· „τί δὴ παθὼν ἀνθρώποις ὁσημέραι δουλεύεις, καὶ ταῦτα ὑπερμεγέθης καὶ ἀνδρεῖος τυγχάνων, ἐμοῦ σάρκας αὐτῶν οἰκτίστως διασπώσης, καὶ τὸ αἷμα χανδὸν πινούσης;“ Καὶ ὃς „οὐκ ἄχαρις ἔσομαι“ φησὶ „μερόπων γένει· στέργομαι γὰρ παρ᾽ αὐτῶν καὶ φιλοῦμαι ἐκτόπως, τρίβομαί τε συχνῶς μέτωπόν τε καὶ ὤμους.“ Ἡ δὲ „ἀλλ᾽ ἐμοὶ γοῦν τέως τῇ δειλαίᾳ ἡ σοὶ φίλη τρίψις οἴκτιστος μόρος, ὅτε καὶ τύχῃ, συμβαίνει.“

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες καὶ ὑπὸ τοῦ εὐτελοῦς ἡττῶνται.

INDEX FABULARUM.